fol. 70v η. | Ἔστι δὲ καθολικὴ μέθοδος ὥστε τριῶν πλευρῶν δοθεισῶν οἱουδηποτοῦν τριγώνου τὸ ἐμβαδὸν εὑρεῖν χωρὶς καθέτου· οἷον ἔστωσαν αἱ τοῦ τριγώνου πλευραὶ μονάδων ζ, η, ϑ. σύνϑες τὰ ζ καὶ τὰ η καὶ τὰ ϑ· γίγνεται κδ. τούτων λαβὲ τὸ ἥμισυ· γίγνεται ιβ. ἄφελε τὰς ζ μονάδας· λοιπαὶ ε. πάλιν ἄφελε ἀπὸ τῶν ιβ τὰς η· λοιπαὶ δ. καὶ ἔτι τὰς ϑ· λοιπαὶ γ. ποίησον τὰ ιβ ἐπὶ τὰ ε· γίγνονται ξ. ταῦτα ἐπὶ τὸν δ· γίγνονται σμ· ταῦτα ἐπὶ τὸν γ· γίγνεται ψκ· τούτων λαβὲ πλευρὰν καὶ ἔσται τὸ ἐμβαδὸν τοῦ τριγώνου. ἐπεὶ οὖν αἱ ψκ ῥητὴν τὴν πλευρὰν οὐκ ἔχουσι, ληψόμεθα μετὰ διαφόρου ἐλαχίστου τὴν πλευρὰν οὕτως· ἐπεὶ ὁ συνεγγίζων τῷ ψκ τετράγωνός ἐστιν ὁ ψκϑ καὶ πλευρὰν ἔχει τὸν κζ, μέρισον τὰς ψκ εἰς τὸν κζ· γίγνεται κς καὶ τρίτα δύο· πρόσϑες τὰς κζ· γίγνεται νγ τρίτα δύο. τούτων τὸ ἥμισυ· γίγνεται κς∟γʹ. ἔσται ἄρα τοῦ ψκ ἡ πλευρὰ ἔγγιστα τὰ κς∟γʹ. τὰ γὰρ κς∟γʹ ἐφ᾽ ἑαυτὰ γίγνεται ψκ λςʹ· ὥστε τὸ διάφορον μονάδος

da $AB : B\Gamma = AB^2 : AB\Gamma = AB\Gamma : B\Gamma^2$, so wird folglich auch $AB^2 : AB\Gamma = AB\Gamma : B\Gamma^2$ sein. Da nun 3 Zahlenwerte in einem Verhältnis stehen, so wird das Produkt der beiden äuſseren gleich dem Quadrat der mittleren sein (Elem. VI 17). Also wird $AB^2 \times B\Gamma^2 = AB\Gamma^2$ sein; also $\sqrt{AB^2 \times B\Gamma^2} = AB\Gamma$.

VIII. Es giebt eine allgemeine Methode, um, wenn drei Seiten eines beliebigen Dreiecks gegeben sind, den Inhalt ohne die Höhe zu finden. Beispielsweise seien die Seiten des Dreiecks = 7, 8, 9.

$$7 + 8 + 9 = 24$$
$$\tfrac{24}{2} = 12$$
$$12 - 7 = 5$$
$$12 - 8 = 4$$
$$12 - 9 = 3$$
$$12 \times 5 = 60$$
$$60 \times 4 = 240$$
$$240 \times 3 = 720.$$

Daraus ziehe die Wurzel, und sie wird gleich dem Inhalt des Dreiecks sein. Da nun 720 eine rationale Wurzel nicht besitzt, so werden wir mit kleinster Differenz die Wurzel folgendermaſsen ziehen. Da die 720 nächstkommende Quadratzahl 729 ist und die Wurzel 27 hat, so teile 720 durch 27; es ergiebt $26\tfrac{2}{3}$.

$$27 + 26\tfrac{2}{3} = 53\tfrac{2}{3}$$

$$\frac{53\frac{2}{3}}{2} = 26\tfrac{1}{2} + \tfrac{1}{3}.$$

---

5 τὸν ἀπὸ: correxit m. 2 7 ἴσος τὸ: corr. man. 2 9 τὸ ὑπὸ: corr. man. 2 11 ὑπὸ τὸν: correxi 20 τῶν δ: correxi τῶν γ: correxi 22 sq. cf. P. Tannery Zeitschrift f. Math. u. Physik, hist. litt. Abt. 1894 pag. 13—15; M. Curtze ib. 1897 p. 113 sq.; Eutocius p. 270, 1 sq. Heib. 22 $\overline{\text{ρη}}$ τὴν: ῥητὴν τὴν m. 2(?) 28 ἔγγιστα τὰ: τὰ f. delendum 29 $\overset{o}{\mu}$ corr. ex $\overset{\omega}{\mu}$ man. 1

ἐστὶ μόριον λϛ΄. ἐὰν δὲ βουλώμεθα ἐν ἐλάσσονι μορίῳ τοῦ λϛ΄ τὴν διαφορὰν γίγνεσθαι, ἀντὶ τοῦ ψκθ τάξομεν τὰ νῦν εὑρεθέντα ψκ καὶ λϛ΄, καὶ ταὐτὰ ποιήσαντες εὑρήσομεν πολλῷ ἐλάττονα ⟨τοῦ⟩ λϛ΄ τὴν διαφορὰν γιγνομένην.

ἡ δὲ γεωμετρικὴ τούτου ἀπόδειξίς ἐστιν ἥδε· τριγώνου δοθεισῶν τῶν πλευρῶν εὑρεῖν τὸ ἐμβαδόν.



Fig. 7.

δυνατὸν μὲν οὖν ἐστιν ἀγαγόντα[ϛ] μίαν κάθετον καὶ πορισάμενον αὐτῆς τὸ μέγεθος εὑρεῖν τοῦ τριγώνου τὸ ἐμβαδόν, δέον δὲ ἔστω χωρὶς τῆς καθέτου τὸ ἐμβαδὸν πορίσασθαι.

---

3 ταῦτα: correxit Curtze 4 ἔλαττον: corr. et suppl. Heiberg 7 cf. Dioptr. cap. XXX; Hultsch Zeitschrift f. Math. u. Physik 1864 p. 225—249; Heronis reliqu. p. 235 sq. 8 ἀγαγόντας: correxi

Es wird also die Wurzel aus 720 annähernd $= 26\frac{1}{2} + \frac{1}{3}$ sein. Denn $\left(26\frac{1}{2} + \frac{1}{3}\right)^2 = 720\frac{1}{36}$, sodaſs die Differenz nur $\frac{1}{36}$ beträgt. Wenn wir aber wünschen, daſs die Differenz kleiner als $\frac{1}{36}$ wird, so werden wir anstatt 729 den gefundenen Wert $720\frac{1}{36}$ einsetzen, und wenn wir dann wieder dasselbe thun, so werden wir finden, daſs die Differenz viel kleiner als $\frac{1}{36}$ wird. Der geometrische Beweis hierfür ist folgender. Wenn die 3 Seiten eines Dreiecks gegeben sind, seinen Inhalt zu finden. Es ist nun möglich, wenn man eine Höhe fällt und ihre Gröſse bestimmt, den Inhalt des Dreiecks zu finden. Die Aufgabe sei aber, den Inhalt ohne die Höhe zu bestimmen. Das gegebene Dreieck sei $AB\Gamma$, und es sei jede der Seiten AB, $B\Gamma$, ΓA gegeben. Zu



Fig. 8.

ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ καὶ ἔστω ἑκάστη τῶν ΑΒ, ΒΓ, ΓΑ δοθεῖσα· εὑρεῖν τὸ ἐμβαδόν. ἐγγεγράφθω εἰς τὸ τρίγωνον κύκλος ὁ ΔΕΖ, οὗ κέντρον ἔστω τὸ Η, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΒΗ, ΓΗ, ΔΗ, ΕΗ, ΖΗ. τὸ μὲν ἄρα ὑπὸ ΒΓ ΕΗ διπλάσιόν ἐστι τοῦ ΒΗΓ τριγώνου, τὸ δὲ ὑπὸ ΓΑ ΖΗ τοῦ ΑΓΗ τριγώνου, ⟨τὸ δὲ ὑπὸ ΑΒ ΔΗ τοῦ ΑΒΗ τριγώνου⟩· fol. 71r τὸ ἄρα ὑπὸ τῆς περιμέτρου τοῦ ΑΒΓ τρι|γώνου καὶ τῆς ΕΗ, τουτέστι τῆς ἐκ τοῦ κέντρου τοῦ ΔΕΖ κύκλου, διπλάσιόν ἐστι τοῦ ΑΒΓ τριγώνου. ἐκβεβλήσθω ἡ ΓΒ, καὶ τῇ ΑΔ ἴση κείσθω ἡ ΒΘ· ἡ ἄρα ΓΒΘ ἡμίσειά ἐστι τῆς περιμέτρου τοῦ ΑΒΓ τριγώνου διὰ τὸ ἴσην εἶναι τὴν μὲν ΑΔ τῇ ΑΖ, τὴν δὲ ΔΒ τῇ ΒΕ, τὴν δὲ ΖΓ τῇ ΓΕ. τὸ ἄρα ὑπὸ τῶν ΓΘ ΕΗ ἴσον ἐστὶ τῷ ΑΒΓ τριγώνῳ. ἀλλὰ τὸ ὑπὸ τῶν ΓΘ ΕΗ πλευρά ἐστιν τοῦ ἀπὸ τῆς ΓΘ ἐπὶ τὸ ἀπὸ τῆς ΕΗ· ἔσται ἄρα τοῦ ΑΒΓ τριγώνου τὸ ἐμβαδὸν ἐφ' ἑαυτὸ γενόμενον ἴσον τῷ ἀπὸ τῆς ΘΓ ἐπὶ τὸ ἀπὸ τῆς ΕΗ. ἤχθω τῇ μὲν ΓΗ πρὸς ὀρθὰς ἡ ΗΛ, τῇ δὲ ΓΒ ἡ ΒΛ, καὶ ἐπεζεύχθω ἡ ΓΛ. ἐπεὶ οὖν ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ ΓΗΛ, ΓΒΛ, ἐν κύκλῳ ἄρα ἐστὶ τὸ ΓΗΒΛ τετράπλευρον· αἱ ἄρα ὑπὸ ΓΗΒ, ΓΛΒ δυσὶν ὀρθαῖς εἰσιν ἴσαι. εἰσὶν δὲ καὶ αἱ ὑπὸ ΓΗΒ, ΑΗΔ δυσὶν ὀρθαῖς ἴσαι διὰ τὸ δίχα τετμῆσθαι τὰς πρὸς τῷ Η γωνίας τα⟨ῖ⟩ς ΑΗ, ΒΗ, ΓΗ καὶ ἴσας εἶναι τὰς ὑπὸ τῶν ΓΗΒ, ΑΗΔ ταῖς ὑπὸ τῶν ΑΗΓ, ΔΗΒ καὶ τὰς πάσας τέτρασιν ὀρθαῖς ἴσας εἶναι· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΗΔ τῇ ὑπὸ ⟨Γ⟩ΛΒ. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΑΔΗ ὀρθῇ τῇ ὑπὸ ΓΒΛ

---

7 suppl. m. 2   20 ΒΛ: ΛΒ suprascripsit m. 2   21 τῶ:

finden seinen Inhalt. Es werde (Elem. IV 4) in das Dreieck der Kreis ΔEZ einbeschrieben, dessen Mittelpunkt H sein soll, und die Verbindungslinien AH, BH, ΓH, ΔH, EH, ZH gezogen. Es ist also:

$$B\Gamma \times EH = 2B H\Gamma$$
$$\Gamma A \times ZH = 2A\Gamma H$$
$$AB \times \Delta H = 2ABH$$

Also ist das Produkt aus dem Umfang des Dreiecks ABΓ und EH, d. h. dem Radius des Kreises ΔEZ, doppelt so grofs als das Dreieck ABΓ. Nun werde ΓB verlängert, und es werde $B\Theta = A\Delta$ gemacht. Dann ist ΓBΘ gleich dem halben Umfang des Dreiecks ABΓ, weil $A\Delta = AZ$, $\Delta B = BE$ und $Z\Gamma = \Gamma E$. Also ist

$$\Gamma\Theta \times EH = AB\Gamma.$$

Nun ist aber

$$\Gamma\Theta \times EH = \sqrt{\Gamma\Theta^2 \times EH^2}.$$

Also wird $AB\Gamma^2 = \Theta\Gamma^2 \times EH^2$ sein.

Nun soll zu ΓH rechtwinklig HΛ und zu ΓB rechtwinklig BΛ gezogen und die Verbindungslinie ΓΛ gezogen werden. Da nun jeder der beiden Winkel ΓHΛ und ΓBΛ ein rechter ist, so ist ΓHBΛ ein Kreisviereck. Folglich ist

$$\Gamma HB + \Gamma\Lambda B = 2\,R.$$

Es ist aber auch $\Gamma HB + AH\Delta = 2\,R$, weil die Winkel bei H durch die Geraden AH, BH, ΓH halbiert sind und die Summe der Winkel ΓHB und AHΔ gleich ist der Summe der Winkel AHΓ und ΔHB und sie alle zusammen gleich 4 Rechten sind. Also ist $AH\Delta = \Gamma\Lambda B$. Es ist aber auch der rechte Winkel AΔH gleich dem rechten Winkel ΓBΛ. Also ist das Dreieck AHΔ dem Dreieck ΓBΛ ähnlich. Folglich ist

$$B\Gamma : B\Lambda = A\Delta : \Delta H = B\Theta : EH$$

---

corr. m. 2   τὰς: ταῖς m. 2   26 ΓΗΒ ἡ ΗΔ: corr. m. 2   τὰς ὑπὸ: corr. m. 2   27 ὀρθάς: correxi   28 ⟨Γ⟩ add. m. 2

ἴση· ὅμοιον ἄρα ἐστὶ τὸ *ΑΗΔ* τρίγωνον τῷ *ΓΒΛ* τριγώνῳ. ὡς ἄρα ἡ *ΒΓ* πρὸς *ΒΛ*, ἡ *ΑΔ* πρὸς *ΔΗ*, τουτέστιν ἡ *ΒΘ* πρὸς *ΕΗ*, καὶ ἐναλλάξ, ὡς ἡ *ΓΒ* πρὸς *ΒΘ*, ἡ *ΒΛ* πρὸς *ΕΗ*, τουτέστιν ἡ *ΒΚ* πρὸς *ΚΕ* διὰ τὸ παράλληλον εἶναι τὴν *ΒΛ* τῇ *ΕΗ*, καὶ συνθέντι, ὡς ἡ *ΓΘ* πρὸς *ΒΘ*, οὕτως ἡ *ΒΕ* πρὸς *ΕΚ*· ὥστε καὶ ὡς τὸ ἀπὸ τῆς *ΓΘ* πρὸς τὸ ὑπὸ τῶν *ΓΘ*⟨*ΘΒ*⟩, οὕτως τὸ ὑπὸ *ΒΕΓ* πρὸς τὸ ὑπὸ *ΓΕΚ*, τουτέστι πρὸς τὸ ἀπὸ *ΕΗ*· ἐν ὀρθογωνίῳ γὰρ ἀπὸ τῆς ὀρθῆς ἐπὶ τὴν βάσιν κάθετος ἦκται ἡ *ΕΗ*· ὥστε τὸ ἀπὸ τῆς *ΓΘ* ἐπὶ τὸ ἀπὸ τῆς *ΕΗ*, ⟨οὗ⟩ πλευρὰ ἦν τὸ ἐμβαδὸν τοῦ *ΑΒΓ* τριγώνου, ἴσον ἔσται τῷ ὑπὸ *ΓΘΒ* ἐπὶ τὸ ὑπὸ *ΓΕΒ*. καὶ ἔστι δοθεῖσα ἑκάστη τῶν *ΓΘ*, *ΘΒ*, *ΒΕ*, *ΓΕ*· ἡ μὲν γὰρ *ΓΘ* ἡμίσειά ἐστι τῆς περιμέτρου τοῦ *ΑΒΓ* τριγώνου, ἡ δὲ *ΒΘ* ἡ ὑπεροχή, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς *ΓΒ*, ἡ δὲ *ΒΕ* ἡ ὑπεροχή, | fol. 71$^{\text{v}}$ ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς *ΑΓ*, ἡ δὲ *ΕΓ* ⟨ἡ⟩ ὑπεροχή, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς *ΑΒ*, ἐπειδήπερ ἴση ἐστὶν ἡ μὲν *ΕΓ* τῇ *ΓΖ*, ἡ δὲ *ΒΘ* τῇ *ΑΖ*, ἐπεὶ καὶ τῇ *ΑΔ* ἐστὶν ἴση. δοθὲν ἄρα καὶ τὸ ἐμβαδὸν τοῦ *ΑΒ*⟨*Γ*⟩ τριγώνου. συντεθήσεται δὴ οὕτως· ἔστω ἡ μὲν *ΑΒ* μονάδων ⟨ιγ⟩, ἡ δὲ *ΒΓ* μονάδων ιδ, ἡ δὲ *ΑΓ* μονάδων ιε. σύνθες τὰ ιγ καὶ ιδ καὶ ιε· καὶ γίγνεται μβ. ὧν ἥμισυ· γίγνεται κα. ὕφελε τὰς ιγ· λοιπαὶ η· εἶτα τὰς ιδ· λοιπαὶ ζ· καὶ ἔτι τὰς ιε· λοιπαὶ ϛ. τὰ κα ἐπὶ τὰ η, καὶ τὰ γενόμενα ἐπὶ τὸν ζ, καὶ ἔτι τὰ γενόμενα ἐπὶ τὸν ϛ· συνάγονται ͵ζνϛ· τούτων πλευρὰ ⟨πδ.⟩ τοσούτου ἔσται τοῦ τριγώνου τὸ ἐμβαδόν.

---

7 ⟨*ΘΒ*⟩ suppl. m. 2(?) 10 *ΕΗ*: immo *ΗΕ* 11 οὗ ante πλευρὰν add. m. 2 12 τὸ ὑπό: corr. m. 2 18 ⟨ἡ⟩ addidi 21 ⟨*Γ*⟩ add. m. 2 22 ⟨ιγ⟩ add. m. 2 26 ιε λοιπαὶ ζ∟: corr. m. 2 28 lacuna 10 litterarum; supplevi

und umgekehrt:

$$\Gamma B : B\Theta = B\Lambda : EH = BK : KE,$$

weil *ΒΛ* zu *ΕΗ* parallel ist, und

$$\Gamma\Theta : B\Theta = BE : EK;$$

so daſs auch

$$\Gamma\Theta^2 : \Gamma\Theta \times \Theta B = BE \times \langle \Gamma E \rangle : \Gamma E \times EK$$
$$= BE \times \langle \Gamma E \rangle : EH^2$$

Denn im rechtwinkligen Dreieck ist vom rechten Winkel auf die Hypotenuse die Höhe *ΕΗ* gefällt. Daher wird $\Gamma\Theta^2 \times EH^2$, woraus die Wurzel gleich dem Inhalt des Dreiecks *ΑΒΓ* war, gleich $\Gamma\Theta \times \Theta B \times \Gamma E \times EB$ sein. Nun ist gegeben jede der Linien *ΓΘ*, *ΘΒ*, *ΒΕ*, *ΓΕ*. Denn *ΓΘ* ist die Hälfte des Umfangs des Dreiecks *ΑΒΓ*; *ΒΘ* aber ist die Strecke, um die die Hälfte des Umfangs gröſser ist als *ΓΒ*; *ΒΕ* aber die Strecke, um die die Hälfte des Umfangs gröſser ist als *ΑΓ*; *ΕΓ* aber die Strecke, um die die Hälfte des Umfangs grösser ist als *ΑΒ*, da ja

$$E\Gamma = \Gamma Z, \quad B\Theta = AZ,$$

weil es auch $= A\Delta$ ist. Folglich ist der Inhalt des Dreiecks *ΑΒΓ* gegeben. Er wird folgendermaſsen berechnet. Es sei $AB = 13$, $B\Gamma = 14$, $A\Gamma = 15$.

$$13 + 14 + 15 = 42$$
$$\frac{42}{2} = 21$$
$$21 - 13 = 8$$

dann

$$21 - 14 = 7$$
$$21 - 15 = 6$$
$$21 \times 8 \times 7 \times 6 = 7056.$$

Hieraus die Wurzel ist gleich 84. So groſs wird der Inhalt des Dreiecks sein.

fol. 72r ϑ. | Ἐπεὶ οὖν ἐμάϑομεν τριγώνου τῶν πλευρῶν δοϑεισῶν εὑρεῖν τὸ ἐμβαδὸν ῥητῆς οὔσης ⟨τῆς⟩ καϑέτου, ἔστω μὴ ῥητῆς ὑπαρχούσης τῆς καϑέτου τὸ ἐμβαδὸν εὑρεῖν. ἔστω γὰρ τρίγωνον τὸ $AB\Gamma$ ἔχον τὴν μὲν AB μονάδων η, τὴν δὲ $B\Gamma$ μονάδων ι, τὴν δὲ $A\Gamma$ μονάδων ιβ· καὶ ἤχϑω κάϑετος ἡ $A\Delta$. ἀκολούϑως δὴ τοῖς ἐπὶ τοῦ ὀξυγωνίου εἰρημένοις ἔσται τὸ δὶς ὑπὸ $\Gamma B\Delta$ μονάδων κ· ἡ ἄρα $B\Delta$ ἔσται μονάδος α, καὶ τὸ ἀπ' αὐτῆς ἄρα μονάδος α. ἀλλὰ καὶ τὸ ἀπὸ τῆς AB μονάδων ξδ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς $A\Delta$ ἔσται μονάδων ξγ. ἀλλὰ καὶ τὸ ἀπὸ $B\Gamma$ μονάδων ρ· τὸ ἄρα ἀπὸ $B\Gamma$ ἐπὶ τὸ ἀπὸ $A\Delta$ ἔσται μονάδων ͵ϛτ. τούτου δὲ πλευρά ἐστιν ὁ ὑπὸ $B\Gamma$ $A\Delta$ [ἐφ' ἑαυτόν]· ὁ ὑπὸ τῶν $B\Gamma$ $A\Delta$ ἄρα ἐφ' ἑαυτὸν ἔσται μονάδων ͵ϛτ. τὸ ἄρα ἥμισυ τοῦ ὑπὸ $B\Gamma$ $A\Delta$ ἐφ' ἑαυτὸ μονάδων ͵αφοε· ὧν γὰρ τετραγώνων αἱ πλευραὶ διπλασίονες ἀλλήλων εἰσίν, τὰ ἀπ' αὐτῶν τετραπλάσιά ἐστιν τῶν ἀπὸ τῶν ἡμίσεων. τὸ δὲ ἥμισυ τοῦ ὑπὸ τῶν $B\Gamma A\Delta$ τὸ ἐμβαδόν ἐστι τοῦ τριγώνου· ἔστιν ἄρα τὸ τοῦ τριγώνου ἐμβαδὸν δυνάμει ͵αφοε. ἔξεστι δὲ τῶν ξγ τὴν πλευρὰν σύνεγγυς λαβόντα εὑρεῖν τὸ ἐμβαδὸν ὡς ῥητῆς οὔσης τῆς καϑέ-



Fig. 9.

---

2 ⟨τῆς⟩ addidi 18—19 [ἐφ' ἑαυτόν]: delevit man. 2
25 ἥμισυ: in ἡμίσεος mutavit et ⟨πλευρὰ⟩ add. m. 2 perperam
28 λαβόντα ex λαβεῖν τα fec. m. 1

IX. Nachdem wir nun gelernt haben, wenn die Seiten eines Dreiecks gegeben sind, den Inhalt zu finden, falls die Höhe rational ist, sei jetzt die Aufgabe, falls die Höhe nicht rational ist, den Inhalt zu finden. Es sei nämlich $AB\Gamma$ das Dreieck, in dem

$$AB = 8,$$
$$B\Gamma = 10,$$
$$A\Gamma = 12,$$

und es werde die Höhe $A\Delta$ gezogen.[3] Entsprechend nun dem beim spitzwinkligen Dreieck Bemerkten wird $2\Gamma B \times B\Delta = 20$ sein, folglich $B\Delta = 1$ und auch $B\Delta^2 = 1$. Es ist aber $AB^2 = 64$; folglich wird $A\Delta^2 = 63$ sein. Es ist aber auch $B\Gamma^2 = 100$; also $B\Gamma^2 \times A\Delta^2 = 6300$. Also ist

$$\sqrt{6300} = (B\Gamma \times A\Delta)$$
$$(B\Gamma \times A\Delta)^2 = 6300$$
$$\left(\frac{B\Gamma \times A\Delta}{2}\right)^2 = 1575;$$

denn von den Quadratzahlen, von deren Wurzeln die eine doppelt so groſs ist als die andere, verhält sich die gröſsere zur kleineren wie 4 : 1. Die Hälfte aber von $B\Gamma \times A\Delta$ ist gleich dem Inhalt des Dreiecks. Es ist also der Inhalt des Dreiecks im Quadrat = 1575. Es ist aber möglich, wenn man die Wurzel von 63 annähernd bestimmt, den Inhalt zu finden, als wäre die Höhe rational. Nun ist die Wurzel von 63 annähernd $7\frac{1}{2} + \frac{1}{4}$



Fig. 10.

---

[3] In Fig. 9 müſste $A\Delta$ auf $B\Gamma$ senkrecht stehen.

του. τῶν δὲ ξγ σύνεγγύς ἐστιν ἡ πλευρὰ ζ∟δ′η′ις′. δεήσει οὖν τοσούτου ὑποστησάμενον τὴν κάθετον τὸ ἐμβαδὸν εὑρεῖν· ἔστι δὲ λθ∟η′ις′.

ι. Ἔστω τραπέζιον ὀρθογώνιον τὸ ΑΒΓΔ ὀρθὰς fol. 72ᵛ ἔχον τὰς πρὸς τοῖς Α, Β γωνίας, καὶ ἔστω ἡ | μὲν ΑΔ μονάδων ς, ἡ δὲ ΒΓ ια, ἡ δὲ ΑΒ μονάδων ιβ· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδὸν καὶ ἔτι τὴν ΓΔ. τετμήσθω δίχα ἡ ΓΔ κατὰ τὸ Ε, καὶ τῇ ΑΒ παράλληλος ἤχθω διὰ τοῦ Ε ἡ ΖΕΗ, καὶ ἐκβεβλήσθω ἡ ΑΔ ἐπὶ τὸ Ζ. ἐπεὶ ἴση ἐστὶν ἡ ΔΕ τῇ ΕΓ, ἴση ἄρα καὶ ἡ ΔΖ τῇ ΗΓ. κοιναὶ προσκείσθωσαν αἱ ΑΔ ΒΗ· συναμφότερος ἄρα ἡ ΑΖ ΒΗ συναμφοτέρῳ τῇ ΑΔ ΒΓ ἴση ἐστίν. δοθεῖσα δέ ἐστιν συναμφότερος ἡ ΑΔ ΒΓ, ἐπεὶ καὶ ἑκατέρα αὐτῶν· δοθεῖσα ἄρα καὶ συναμφότερος ἡ ΑΖ ΒΗ, τουτέστι δύο αἱ ΒΗ· καὶ ἡ ΒΗ ἄρα ἐστὶ δοθεῖσα. ἀλλὰ καὶ ἡ ΑΒ· δοθὲν ἄρα τὸ ΑΒΖΗ παραλληλόγραμμον. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΔΕΖ τρίγωνον τῷ ΕΗΓ, κοινὸν προσκείσθω τὸ ΑΒΗΕΔ πεντάπλευρον· ὅλον ἄρα τὸ ΑΒΖΗ παραλληλόγραμμον ὅλῳ τῷ ΑΒΓΔ τραπεζίῳ ἴσον ἐστί. δοθὲν δὲ ἐδείχθη τὸ ΑΒΖΗ παραλληλόγραμμον· δοθὲν ἄρα καὶ τὸ ΑΒΓΔ τραπέζιον. ἡ δὲ ΓΔ εὑρεθήσεται οὕτως· ἤχθω κάθετος



Fig. 11.

$+ \frac{1}{8} + \frac{1}{16}$. Es wird nun nötig sein, die Höhe so groſs anzusetzen und dann den Inhalt zu finden. Er beträgt $39\frac{1}{2} + \frac{1}{8} + \frac{1}{16}$.

X. Es sei *ΑΒΓΔ* ein rechtwinkliges Trapez, in dem die Winkel bei *Α* und bei *Β* rechte sind; und es sei $ΑΔ = 6$, $ΒΓ = 11$, $ΑΒ = 12$. Zu finden seinen Inhalt und auſserdem *ΓΔ*. Es werde *ΓΔ* halbiert in *Ε*,[4] und zu *ΑΒ* werde durch *Ε* die Parallele *ΖΕΗ* gezogen und *ΑΔ* bis Z verlängert. Da $ΔΕ = ΕΓ$, so ist auch $ΔΖ = ΗΓ$. Auf beiden Seiten werde hinzugefügt $ΑΔ + ΒΗ$. Folglich sind $ΑΖ + ΒΗ = ΑΔ + ΒΓ$. Es ist aber $ΑΔ + ΒΓ$ gegeben, da jede der beiden Linien gegeben ist. Also ist auch $ΑΖ + ΒΗ = 2ΒΗ$ gegeben; also ist auch *ΒΗ* gegeben; aber auch *ΑΒ*; mithin ist das Parallelogramm *ΑΒΖΗ* gegeben. Und da Dreieck $ΔΕΖ =$ Dreieck *ΕΗΓ* ist, so werde auf beiden Seiten das Fünfeck *ΑΒΗΕΔ* zugefügt. Also ist das ganze Parallelogramm *ΑΒΖΗ* = dem ganzen Trapez *ΑΒΓΔ*. Das Parallelogramm *ΑΒΖΗ* aber ward als gegeben nachgewiesen. Gegeben ist also auch das Trapez *ΑΒΓΔ*. *ΓΔ* dagegen wird auf folgende Weise gefunden werden. Es werde die Höhe *ΔΘ* gezogen. Da nun *ΑΔ* gegeben ist, so ist also auch *ΒΘ* gegeben, aber auch *ΒΓ*: folglich ist nun auch *ΓΘ* gegeben; aber auch *ΔΘ*, da dies $= ΑΒ$ ist, und der Winkel bei *Θ* ist ein rechter; also ist auch *ΓΔ* gegeben. Berechnet wird es der Analyse entsprechend in folgender Weise:

$$6 + 11 = 17$$

$$\frac{17}{2} = 8\frac{1}{2}$$

$$8\frac{1}{2} \times 12 = 102.$$

So groſs wird der Inhalt sein. Dagegen *ΔΓ* wird folgendermaſsen bestimmt.

---

[4] In Fig. 11 ist dies nicht der Fall.

---

8 *Ε* m. 2 in ras. 9 *ΖΕΚ*: corr. m. 2 20—21 συναμφότορος: corr. m. 2

ἡ ΔΘ. ἐπεὶ οὖν δοθεῖσά ἐστιν ἡ ΑΔ, δοθεῖσα ἄρα καὶ ἡ ΒΘ. ἀλλὰ καὶ ἡ ΒΓ· καὶ λοιπὴ ἄρα ἡ ΓΘ δοθεῖσά ἐστιν. ἀλλὰ καὶ ἡ ΔΘ· ἴση γάρ ἐστι τῇ ΑΒ· καὶ ὀρθή ἐστιν ἡ πρὸς τῷ Θ γωνία· δοθεῖσα ἄρα καὶ ἡ ΓΔ. συντεθήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως· σύνθες τὰ ς καὶ τὰ ια· γίγνεται ιζ. τούτων τὸ ἥμισυ· γίγνεται η∟. ταῦτα ἐπὶ τὰ ιβ· γίγνεται ρβ· τοσούτου ἄρα τὸ ἐμβαδόν. ἡ δὲ ΔΓ οὕτως· ὕφελε ἀπὸ τῶν ια τὰ ς· καὶ γίγνεται λοιπὰ ε. ταῦτα ἐφ' ἑαυτά· γίγνεται κε· καὶ τὰ ιβ ἐφ' ἑαυτά· γίγνεται ρμδ. πρόσθες τὰ κε· γίγνεται ρξθ. τούτων πλευρὰ γίγνεται ⟨ιγ·⟩ τοσούτων ἔσται ἡ ΔΓ.

fol. 73^{r} ια. | Ἔστω τραπέζιον ἰσοσκελὲς τὸ ΑΒΓΔ ἴσην ἔχον τὴν ΑΒ τῇ ΓΔ, καὶ ἑκατέρα αὐτῶν ἔστω μονάδων ιγ, ἡ δὲ ΑΔ μονάδων ς, ἡ δὲ ΒΓ μονάδων ις· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδὸν καὶ τὴν κάθετον. ἤχθω τῇ ΓΔ παράλληλος ἡ ΑΕ, καὶ κάθετος ἤχθω ἐπὶ τὴν ΒΓ ἡ ΑΖ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΑΕΓΔ. ἴση ἄρα ἐστὶν ἡ μὲν ΑΔ τῇ ΕΓ, ἡ δὲ ΓΔ τῇ ΑΕ· ὥστε ἔσται ἡ μὲν ΑΕ μονάδων ιγ, ἡ δὲ ΕΓ μονάδων ς· λοιπὴ ἄρα ἡ ΒΕ μονάδων ι. ἐπεὶ οὖν ἰσοσκελές ἐστι τὸ ΑΒΕ τρίγωνον ἔχον ἑκάστην πλευρὰν δοθεῖσαν, ἔσται ἄρα καὶ ἡ ΑΖ κάθετος δοθεῖσα· καὶ ἔσται μονάδων ιβ, ὡς προδέδεικται. τετμήσθωσαν δὴ δίχα αἱ ΑΒ, ΓΔ τοῖς Η, Θ, καὶ κάθετοι ἐπὶ τὴν ΒΓ ⟨ἤχθωσαν⟩



Fig. 12.

$$11 - 6 = 5$$
$$5^2 = 25$$
$$12^2 = 144$$
$$144 + 25 = 169$$
$$\sqrt{169} = 13.$$

So groſs wird ΔΓ sein.

XI. Es sei ΑΒΓΔ ein gleichschenkliges Trapez, in dem $AB = \Gamma\Delta = 13$, $A\Delta = 6$, $B\Gamma = 16$. Zu finden seinen Inhalt und seine Höhe. Es werde zu ΓΔ die Parallele ΑΕ gezogen und auf ΒΓ die Höhe ΑΖ gefällt. Folglich ist ΑΕΓΔ ein Parallelogramm. Also ist $A\Delta = E\Gamma$ und $\Gamma\Delta = AE$, sodaſs $AE = 13$, $E\Gamma = 6$ sein wird. Also ist $BE = 10$. Da nun das Dreieck ΑΒΕ gleichschenklig ist und Seiten von gegebener Gröſse hat, so wird auch die Höhe ΑΖ gegeben sein. Sie wird, wie vorher gezeigt ist, $= 12$ sein. Nun sollen ΑΒ und ΓΑ in Η und Θ halbiert werden und auf ΒΓ die Höhen ΚΗΛ und ΜΘΝ gefällt werden. Dann ist Dreieck $AKH = BH\Lambda$ und $\Delta M\Theta = \Gamma N\Theta$, sodaſs, wenn auf beiden Seiten das Sechseck ΑΗΛΝΘΔ hinzugefügt wird, das Parallelogramm ΚΛΜΝ gleich dem Trapez ΑΒΓΔ sein wird.



Fig. 13.

---

5 ΓΔ corr. ex ΓΕ m. 1(?) 10 $\overline{\kappa\varepsilon}$: ε renov. m. 1 11 ρκθ: corr. man. 2 ⟨ιγ⟩ add. man. 2 11—12 τοσοῦτον: corr. m. 2 ἔστω: correxi 12 τὸ ἐμβαδὸν: delevit et in mg. ἡ δγ adscripsit man. 2 31 ΓΑ: correxi ⟨ἤχθωσαν⟩ addidi

αἱ ΚΗΛ, ΜΘΝ. ἴσον ἄρα ἐστὶ τὸ μὲν ΑΚΗ τρίγωνον τῷ ΒΗΛ, τὸ δὲ ΔΜΘ τῷ ΓΝΘ· ὥστε κοινοῦ προστεθέντος τοῦ ΑΗΛΝΘΔ ἑξαπλεύρου ἴσον ἔσται τὸ ΚΛΜΝ παραλληλόγραμμον τῷ ΑΒΓΔ τραπεζίῳ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΚ τῇ ΒΛ, ἡ δὲ ΔΜ τῇ ΓΝ, αἱ ἄρα ΑΚ ΔΜ ἴσαι εἰσὶν ταῖς ΒΛ ΝΓ. κοινῶν προστεθεισῶν τῶν ΑΔ ΛΝ ἔσται συναμφότερος ἡ ΚΜΛΝ, τουτέστι δύο αἱ ΚΜ, συναμφοτέρῳ τῇ ΑΔ ΒΓ ἴση. καὶ ἔστι δοθεῖσα συναμφότερος ἡ ΑΔ ΒΓ· ἔστι γὰρ μονάδων κβ· ἔσονται ἄρα καὶ αἱ δύο αἱ ΚΜ μονάδων κβ· ⟨αὐτὴ ἄρα ἡ ΚΜ⟩ μονάδων ια. ἀλλὰ καὶ ἡ ΚΛ μονάδων ιβ· ἴση γάρ ἐστι τῇ Α⟨Ζ· τὸ ἄρα ΚΛΝΜ⟩ παραλληλόγραμμον ἔσται μονάδων ρλβ. καὶ ἔστιν ἴσον τῷ ΑΒΓΔ τραπεζίῳ· ἔσται ἄρα καὶ τὸ ΑΒΓΔ τραπέζιον μονάδων ρλβ. ⟨συντε⟩θήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως· ἄφελε ἀπὸ τῶν ις τὰς ς· γίγνονται λοιπαὶ ι. τούτων τὸ ἥμισυ ε. καὶ ταῦτα ἐφ᾽ ἑαυτά· γίγνονται κε· καὶ τὰ ιγ ἐφ᾽ ἑαυτά· γίγνονται ρξθ. ἄφελε τὰ κε· λοιπὰ ρμδ. τούτων πλευρὰ γίγνεται ⟨ιβ·⟩ ἔσται ἡ κάθετος μονάδων ιβ. τὸ δὲ ἐμβαδὸν οὕτως· σύνθες τὰ ις καὶ
fol. 73^{v} *τὰ ς· γί|νονται κβ· ὧν ἥμισυ· γίγνονται ια· ⟨ταῦτα⟩ ἐπὶ τὴν κάθετον· γίγνεται ρλβ· τοσούτων ἔσται τὸ ἐμβαδόν.*

ιβ. Ἔστω τραπέζιον ὀξυγώνιον τὸ ΑΒΓΔ ὀξεῖαν ἔχον τὴν πρὸς τῷ Β γωνίαν, καὶ ἔστω ἡ μὲν ΑΒ μονάδων ιγ, ἡ δὲ ΓΔ μονάδων κ, ἡ δὲ ΑΔ μονάδων ς, ἡ δὲ ΒΓ μονάδων κζ· εὑρεῖν αὐτοῦ τὴν κάθετον καὶ τὸ ἐμβαδόν. ἤχθω τῇ ΓΔ παράλληλος ἡ ΑΕ καὶ κάθετος ἡ ΑΖ. ἡ μὲν ἄρα ΑΕ ἔσται μονάδων κ· ἡ

---

2 *ΓΗΘ*: correxi 3 *προστιθέντος*: correxi 7 *ΚΜΛ-Η*: correxi 10 sq. spatium 8 litterarum; supplevi 12 lacuna 9 litterarum; supplevi 21 ⟨*ταῦτα*⟩ m. 2.

Und da $AK = B\Lambda$ und $\Delta M = \Gamma N$, so ist $AK + \Delta M = B\Lambda + N\Gamma$. Wird auf beiden Seiten $A\Delta + \Lambda N$ zugesetzt, so wird $KM + \Lambda N = 2KM = A\Delta + B\Gamma$ sein. Und $A\Delta + B\Gamma$ ist gegeben; es ist nämlich $= 22$; daher wird auch $2KM = 22$, also $KM = 11$ sein. Aber auch $K\Lambda = 12$, denn es ist $= AZ$. Also wird das Parallelogramm $K\Lambda NM = 132$ sein. Und dies ist gleich dem Trapez $AB\Gamma\Delta$. Also wird auch das Trapez $AB\Gamma\Delta = 132$ sein. Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen:

$$16 - 6 = 10$$
$$\frac{10}{2} = 5$$
$$5^2 = 25$$
$$13^2 = 169$$
$$169 - 25 = 144$$
$$\sqrt{144} = 12.$$

Die Höhe wird $= 12$ sein. Den Inhalt findet man folgendermaſsen:

$$16 + 6 = 22$$
$$\frac{22}{2} = 11$$
$$11 \times 12 = 132.$$

So groſs wird der Inhalt sein.

XII. Es sei $ABI\Delta$ ein spitzwinkeliges Trapez, das bei B einen spitzen Winkel hat, und es sei $AB = 13$, $\Gamma\Delta = 20$, $A\Delta = 6$, $B\Gamma = 27$. Zu finden seine Höhe und den Inhalt. Es werde zu $\Gamma\Delta$ die Parallele AE gezogen und die Höhe AZ gefällt. Also wird $AE = 20$, $\Gamma E = 6$

---

15 lacuna 5 litterarum; supplevit man. 2. 19 lacuna 2 litterarum; supplevi 22 ante *ἐπὶ* inseruit *ταῦτα* man. 2.

δὲ ΓΕ μονάδων ϛ· λοιπὴ ἄρα ἡ ΒΕ μονάδων κα· ὥστε διὰ τὸ ⟨τὸ⟩ ΑΒΕ ὀξυγώνιον τρίγωνον ⟨εἶναι⟩ ἔσται ἡ ΑΖ κάθετος μονάδων ιβ. δίχα δὴ τμηθεισῶν τῶν ΑΒ ΓΔ τοῖς Η, Θ καὶ καθέτων ἀχθεισῶν τῶν ΚΗΛ ΜΘΝ ὁμοίως τῷ ἐπάνω δείξομεν, ὅτι τὸ μὲν ΑΒΓ ⟨Δ⟩ τραπέζιον ἴσον ἐστὶ τῷ ΚΛΜΝ παραλληλογράμμῳ, συναμφότερος δὲ ἡ ΒΓ ΑΔ διπλῆ ἐστι τῆς ΚΜ· καὶ ἔσται ἡ ΚΜ μονάδων ιϛ∟· ἔστι δὲ καὶ ἡ ΚΛ μονάδων ιβ, ἐπεὶ καὶ ἡ ΑΖ· τὸ ἄρα ἐμβαδὸν τοῦ τραπεζίου ἔσται μονάδων ρϟη. συντεθήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως· ἄφελε ἀπὸ τῶν κζ τὰ ϛ· λοιπὰ γίγνεται κα. καὶ τριγώνου ὀξυγωνίου τῶν πλευρῶν δοθεισῶν ιγ καὶ κα καὶ κ εὑρήσθω ἡ ΑΖ κάθετος· ἔστιν δὲ μονάδων ιβ, ὡς ἐμάθομεν· καὶ σύνθες κζ καὶ ⟨ϛ⟩· γίγνεται τὸ ἥμισυ ιϛ∟· ταῦτα ἐπὶ ⟨ιβ· γίγνεται ρϟη⟩. τοσούτου ἔσται τὸ ἐμβαδόν.



Fig. 14.

fol. 74r ιγ. Ἔστω τραπέζιον ἀμβλυγώνιον τὸ ΑΒΓΔ ἔχον ἀμβλεῖαν τὴν πρὸς τῷ Β, καὶ ἔστω ἡ μὲν ΑΒ μονάδων ιγ, ἡ δὲ ΓΔ κ, ἡ δὲ ΑΓ ϛ, ἡ δὲ ΒΔ μονάδων ιζ. εὑρεῖν αὐτοῦ τὴν κάθετον καὶ τὸ ἐμβαδόν. ἤχθω κάθετος ἡ ΑΕ καὶ τῇ ΓΔ παράλληλος ἡ ΑΖ· ἔσται ἄρα ἡ μὲν ΑΖ μονάδων κ, ἡ δὲ ΖΔ μονάδων ϛ· καὶ λοιπὴ ἄρα ἡ ΒΖ μονάδων ια· ὥστε διὰ τὸ τὸ ΑΒΖ τρίγωνον ἀμβλυγώνιον εἶναι ἔσται ἡ ΑΕ μονάδων ιβ.

sein. Folglich wird $BE = 21$ sein, sodaſs, weil ABE ein spitzwinkeliges Dreieck ist, die Höhe $AZ = 12$ sein wird. Werden nun AB und $\Gamma\Delta$ in H und Θ halbiert und die Höhen $KH\Lambda$ und $M\Theta N$ gefällt, so werden wir, ähnlich wie oben, zeigen, daſs das Trapez $AB\Gamma =$ dem Parallelogramm $K\Lambda MN$ ist. Nun ist aber $B\Gamma + A\Delta = 2KM$, also wird $KM = 16\frac{1}{2}$ sein. Es ist aber auch $K\Lambda = 12$, da auch $AZ = 12$ ist. Also wird der Inhalt des Trapezes $= 198$ sein. Berechnet wird es, der Analyse entsprechend, in folgender Weise. $27 - 6 = 21$. Nun muſs von einem spitzwinkeligen Dreieck, dessen Seiten $= 13$, 21 und 20 gegeben sind, die Höhe AZ gefunden werden; sie ist $= 12$, wie wir gelernt haben.

$$27 + 6 = 33$$

$$\frac{33}{2} = 16\frac{1}{2}$$

$$16\frac{1}{2} \times 12 = 198.$$

So groſs wird der Inhalt sein.

XIII. Es sei $AB\Gamma\Delta$ ein stumpfwinkeliges Trapez, das bei B einen stumpfen Winkel hat, und es sei $AB = 13$, $\Gamma\Delta = 20$, $A\Gamma = 6$, $B\Delta = 17$. Zu finden seine Höhe und den Inhalt. Es werde die Höhe AE und zu $\Gamma\Delta$ die Parallele AZ gezogen. Also wird $AZ = 20$, $Z\Delta = 6$ sein; folglich ist $BZ = 11$; sodaſs, weil das Dreieck ABZ stumpfwinkelig ist, $AE = 12$ sein wird. Und ähnlich dem oben gesagten wird bewiesen werden, daſs $(B\Delta + A\Gamma) \times AE =$ dem doppelten Trapez $AB\Gamma\Delta$ sein wird. Der



Fig. 15.

---

2 ⟨τὸ⟩ suprascr. m. 2 ⟨εἶναι⟩ ante τρίγωνον add. man. 2 5 τὸ ἐπάνω: corr. man. 2 22 ⟨ϛ⟩ addidi 23 supplevi 25 τῆς πρὸς τὸ: corr. man. 2 26 ΓΔ ι∟: corr. m. 2 26 ΑΓ ex ΑΔ fec. m. 2.

καὶ ὁμοίως τοῖς ἐπάνω δειχθήσεται τὸ ὑπὸ συναμφοτέρου τῆς ΒΔ ΑΓ καὶ τῆς ΑΕ διπλάσιον τοῦ ΑΒΓΔ τραπεζίου· τὸ ἄρα ἐμβαδὸν τοῦ τραπεζίου ἔσται μονάδων ρλη. συντεθήσεται δὲ οὕτως· ἄφελε ἀπὸ τῶν ιζ τὰ ϛ· λοιπὰ ια· καὶ τριγώνου ἀμβλυγωνίου τῶν πλευρῶν δοθεισῶν ιγ, ια, κ εὑρήσθω ἡ κάθετος· γίγνεται ιβ· καὶ σύνθες τὰ ιζ καὶ ⟨ϛ·⟩ γίγνεται κγ· τούτων τὸ ἥμισυ γίγνεται ιαL· ταῦτα ἐπὶ τὰ ιβ· γίγνεται ρλη· τοσούτου ἔσται τὸ ἐμβαδὸν τοῦ τραπεζίου.

⟨ιδ·⟩ Ὁ δὲ ῥόμβος καὶ τὸ ῥομβοειδὲς τὴν μέτρησιν φανερὰν ἔχουσιν. δεῖ γὰρ ἑκατέρου αὐτῶν τὰς πλευρὰς δοθείσας εἶναι καὶ μίαν διάμετρον. ὧν δοθέντων ὁ μὲν ῥόμβος ἔσται ἐκ δύο ἰσοσκελῶν τριγώνων συγκείμενος, τὸ δὲ ῥομβοειδὲς ἐκ δύο τριγώνων ἤτοι ὀξυγωfol. 74v ν⟨ί⟩ων | ⟨ἢ ἀμβλυγωνίων⟩, καὶ διὰ τοῦτο δοθήσεται αὐτῶν ⟨τὸ ἐμβαδόν⟩. τὰ μὲν οὖν ἀποδειχθέντα τετράπλευρα ⟨μίαν πλευρὰν μιᾷ πλευρᾷ⟩ παράλληλον εἶχε· ⟨τὸ δὲ παρὸν τὸ Α⟩ ΒΓΔ τὴν μὲν πρὸς τῷ Γ γωνίαν ⟨ἐχέτω⟩ ὀρθήν, μηδεμίαν δὲ πλευρὰν μηδεμιᾷ παράλληλο⟨ν καὶ⟩ ἔτι ἑκάστην τῶν πλευρῶν δοθεῖσαν, τὴν μὲν ⟨ΑΒ μονάδων⟩ ιγ, τὴν δὲ ⟨Β⟩ Γ μονάδων ι, τὴν δὲ ΓΔ μονάδων κ, τὴν δὲ ΔΑ μονάδων ιζ· δεῖξαι αὐτοῦ τὸ ἐμβαδὸν δοθέν. ἐπεζεύχθω ἡ Β⟨Δ⟩· καὶ ἐπ᾽ αὐτὴν κάθετος ⟨ἤχθω⟩ ἡ ΑΕ. ἐπεὶ ἑκατέρα τῶν ΒΓ ΓΔ δοθεῖσά ἐστιν καὶ ὀρθὴ ἡ πρὸς τῷ [Δ] Γ, δοθὲν ἄρα ἐστὶ τὸ ΒΓΔ τρίγωνον· καὶ ἔτι τὸ ἀπὸ τῆς ΒΔ ἔσται δοθέν· ἔστι γὰρ μονάδων φ· ἀλλὰ καὶ

---

2 *διπλάσιον τὸ*: corr. m. 2 5 *τρίγωνον*: corr. m. 2 10 in mg. numerus capitis non adscriptus 14—15 *ὀξυγώνων*: correxi 15 spatium 12 litterarum; supplevit m. 2 16 spatium 12 litterarum; supplevi. ⟨*ἕκαστον*⟩ perperam m. 2 17 spatium 17 litterarum; supplevit m. 2 18 spatium 13 litterarum; supplevit m. 2 *πρὸς τὸ*: correxit m. 2 19 spatium 10 litterarum; supplevit m. 2. 20 spatium 9 litterarum; supplevit m. 2 21 spatium 4 litterarum; supplevi spatium 1 litterae; supplevit m. 2 23 ⟨Δ⟩ supra lineam add. man. 2 24 spatium 4 litterarum; supplevit m. 2 25 [Δ] delevit man. 1 24 post ΑΕ inseruit *καὶ* m. 2

Inhalt des Trapezes wird daher = 138 sein. Berechnet wird es folgendermaſsen:

$$17 - 6 = 11.$$

Nun ist in einem stumpfwinkeligen Dreieck, dessen Seiten = 13, 11 und 20 gegeben sind, die Höhe zu finden. Sie ist = 12.

$$17 + 6 = 23$$

$$\frac{23}{2} = 11\frac{1}{2}$$

$$11\frac{1}{2} \times 12 = 138.$$

So groſs wird der Inhalt des Trapezes sein.

XIV. Beim Rhombus und beim Rhomboïd ist die Art der Ausmessung von selbst klar. Es müssen nämlich von jedem der beiden die Seiten und ein Durchmesser gegeben sein. Wenn diese Stücke gegeben sind, so wird der Rhombus aus zwei gleichschenkeligen Dreiecken zusammengesetzt sein, das Rhomboid dagegen aus zwei spitzwinkeligen oder stumpfwinkeligen Dreiecken. Und aus diesem Grunde wird der Inhalt derselben gegeben sein.

Die behandelten Vierecke nun hatten immer eine Seite einer anderen parallel. Das jetzt vorliegende ΑΒΓΔ jedoch soll bei Γ einen rechten Winkel haben, aber keine Seite der anderen parallel; weiter soll jede der Seiten gegeben sein und zwar $AB = 13$, $B\Gamma = 10$, $\Gamma\Delta = 20$, $\Delta A = 17$. Zu zeigen, daſs damit sein Inhalt gegeben ist. Man ziehe die Verbindungslinie ΒΔ und auf sie die Senkrechte ΑΕ. Da nun jede der beiden Linien ΒΓ und ΓΔ gegeben ist, und der Winkel bei Γ ein rechter ist, so ist das Dreieck ΒΓΔ gegeben. Weiter ist auch $B\Delta^2$ gegeben = 500;

τὸ ἀπὸ τῆς ΑΒ δοθέν· δοθέντα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ ΒΔ· καὶ ἔστι μείζονα τοῦ ἀπὸ τῆς ΑΔ. ὀξεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΔ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ ΒΔ τοῦ ἀπὸ τῆς ΑΔ μείζονά ἐστιν τῷ δὶς ὑπὸ τῶν ΔΒ ΒΕ. δοθὲν ἄρα ἐστὶν τὸ δὶς ὑπὸ τῶν ΔΒ ΒΕ· ὥστε καὶ τὸ ἅπαξ ὑπὸ τῶν ΔΒΒΕ δοθέν ἐστι· καὶ ἔστι πλευρὰ τοῦ ἀπὸ τῆς ΒΔ ἐπὶ τὸ ἀπὸ ΒΕ. δοθὲν ἄρα καὶ τὸ ἀπὸ ΔΒ ἐπὶ τὸ ἀπὸ ΒΕ· καὶ ἔστι δοθὲν τὸ ἀπὸ ΒΔ· δοθὲν ἄρα καὶ τὸ ἀπὸ ΒΕ. ἀλλὰ καὶ τὸ ἀπὸ [Β]ΕΑ ἐπὶ τὸ ἀπὸ ΒΔ· καὶ ἔστιν αὐτοῦ πλευρὰ τὸ ὑπὸ ΒΔ ΑΕ. δοθὲν ἄρα καὶ τὸ ὑπὸ ΒΔ ΑΕ. καὶ ἔστι διπλάσιον τοῦ ΑΒΔ τριγώνου· δοθὲν ἄρα καὶ τὸ ΑΒΔ τρίγωνον· ἀλλὰ καὶ τὸ ΒΓΔ· ὥστε καὶ ὅλον τὸ ΑΒΓΔ τετράπλευρον δοθὲν ἔσται. συντεθήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως· τὰ ι ἐπὶ τὰ κ· γίγνεται σ. καὶ τούτων τὸ ἥμισυ· γίγνεται ρ. καὶ πάλιν τὰ ι ἐφ᾽ ἑαυτά· γίγνεται ρ. καὶ τὰ κ ἐφ᾽ ἑαυτά·



Fig. 16.



Fig. 17.

---

7 τῶ δὶς: corr. man. 2   13 ΒΕΑ: del. Β et τῆς suprascripsit m. 2.

es ist aber auch AB^2 gegeben. Also ist $AB \times B\Delta$ gegeben, und dies ist gröſser als $A\Delta^2$. Also ist der Winkel $AB\Delta$ ein spitzer. Folglich ist

$$AB \times B\Delta - 2\Delta B \times BE = A\Delta^2.$$

Folglich ist $2\Delta B \times BE$ gegeben, sodaſs auch $\Delta B \times BE$ gegeben ist, und zwar ist es $= \sqrt{B\Delta^2 \times BE^2}$. Gegeben ist also auch $\Delta B^2 \times BE^2$. Und gegeben ist $B\Delta^2$, also auch BE^2. Aber auch $EA^2 \times B\Delta^2$. Und es ist

$$\sqrt{EA^2 \times B\Delta^2} = B\Delta \times AE.$$



Fig. 18.

Gegeben ist also auch $B\Delta \times AE$. Und dies ist doppelt so groſs als das Dreieck $AB\Delta$. Gegeben ist also auch das Dreieck $AB\Delta$; aber auch $B\Gamma\Delta$; sodaſs das ganze Viereck $AB\Gamma\Delta$ gegeben sein wird. Berechnet wird es, der Analyse entsprechend, in folgender Weise:



Fig. 18 a.

γίγνεται υ. σύνθες· γίγνεται φ. καὶ τὰ ιγ ἐφ' ἑαυτά· fol. 75r γίγνεται ρξθ. ταῦτα μετὰ τῶν φ γίγνεται χξθ· ἄφελε | τὰ ιζ ἐφ' ἑαυτά· λοιπαὶ τπ· τούτων τὸ ἥμισυ γίγνεται ρϙ· ταῦτα ἐφ' ἑαυτά· γίγνεται $\overset{\gamma}{\mu}$,ϛρ. ταῦτα παρὰ τὸν φ· γίγνεται οβ ε'· ἄφελε ταῦτα ἀπὸ τῶν ⟨ρ⟩ξθ· γίγνονται λοιπαὶ ϙϛ∠ε'ι'. ταῦτα ἐπὶ τὸν φ· γίγνεται ⟨$\overset{\delta}{\mu}$,ηυ.⟩ τούτων πλευρὰ γίγνεται σκ· τούτων τὸ ἥμισυ γίγνεται ρι· τοσούτου ἔσται τοῦ ΑΒΔ τὸ ἐμβαδόν. ἀλλὰ καὶ τοῦ ⟨ΒΓΔ⟩ μονάδων ρ· τοῦ ἄρα ΑΒΓΔ τετραπλεύρου τὸ ἐμβαδὸν ἔσται ⟨σι.⟩ [ἔστιν] ⟨ὅτι⟩ δὲ καὶ ἡ ἀπὸ τοῦ Α κάθετος ἀγομένη ἐπὶ τὴν ΓΔ δοθεῖσά ἐστιν, δείξομεν ἑξῆς.

ιε. Ἔστω τραπέζιον τὸ ΑΒΓΔ δοθεῖσαν ἔχον ἑκάστην τῶν πλευρῶν καὶ ὀρθὴν τὴν ὑπὸ ΒΓΔ γωνίαν. ὅτι δοθεῖσά ἐστιν ἡ ἀπὸ τοῦ Α κάθετος ἀγομένη ἐπὶ τὴν ΓΔ. ἤχθω γὰρ ἐπὶ μὲν τὴν ΓΔ κάθετος ἡ ΑΖ, ἐπὶ δὲ τὴν ΑΖ ἡ ΒΗ, ἐπὶ δὲ τὴν ΒΔ ἡ ΑΕ. φανερὸν δή, ὅτι δοθεῖσά ἐστιν ἡ ΒΔ καὶ ἡ ἐπ' αὐτὴν κάθετος ἡ ΑΕ, ἐπεὶ καὶ αἱ ΒΑ, ΑΔ δοθεῖσαί εἰσιν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΓΒΔ τῇ ὑπὸ ΒΘΑ, ἀλλὰ καὶ ὀρθὴ ἡ ὑπὸ ΒΓΔ ὀρθῇ τῇ ὑπὸ ΑΕΘ ἴση, ἔστιν ἄρα ὡς ἡ ΔΓ πρὸς ΓΒ, ἡ ΑΕ πρὸς ΕΘ. λόγος δὲ τῆς ΓΔ πρὸς ΓΒ δοθείς· λόγος ἄρα καὶ τῆς ΑΕ πρὸς ΕΘ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ΑΕ· δοθεῖσα ἄρα καὶ ἡ ΕΘ. καὶ ὀρθὴν γωνίαν περιέχουσι· δοθεῖσα ἄρα καὶ ἡ ΑΘ. καὶ ἐπεὶ ἑκατέρα τῶν ΒΕ, ΕΘ δοθεῖσά ἐστιν, δοθὲν ἄρα τὸ ὑπὸ τῶν

---

5 ⟨ρ⟩ in rasura scripsit man. 2 6 ἐπὶ τῶν: correxi spatium 6 litterarum: supplevi 8 ΑΒΓ: corr. et τριγώνου add. m. 2 10 spatium 4 litterarum: supplevit m. 2 [ἔστιν] delevi ⟨σι⟩ suprascr. m. 2 spatium 4 litterarum: supplevit m. 2

$$10 \times 20 = 200$$
$$\frac{200}{2} = 100$$
$$10^2 = 100$$
$$20^2 = 400$$
$$400 + 100 = 500$$
$$13^2 = 169$$
$$500 + 169 = 669$$
$$669 - 17^2 = 380$$
$$\frac{380}{2} = 190$$
$$190^2 = 36\,100$$
$$\frac{36100}{500} = 72\tfrac{1}{5}$$
$$169 - 72\tfrac{1}{5} = 96\tfrac{1}{2} + \tfrac{1}{5} + \tfrac{1}{10}$$
$$\left(96\tfrac{1}{2} + \tfrac{1}{5} + \tfrac{1}{10}\right) \times 500 = 48\,400$$
$$\sqrt{48400} = 220$$
$$\frac{220}{2} = 110.$$

So groſs wird der Inhalt des Dreiecks ΑΒΔ sein. Aber auch der Inhalt von ΒΓΔ = 100. Der Inhalt des Vierecks ΑΒΓΔ wird also = 210 sein. Daſs aber auch die von Α auf ΓΔ gefällte Senkrechte gegeben ist, werden wir im Folgenden zeigen.

XV. Es sei ΑΒΓΔ ein Trapez, in dem jede der Seiten gegeben und der Winkel ΒΓΔ ein rechter ist. Zu zeigen, daſs die von Α auf ΓΔ gefällte Senkrechte gegeben ist. Es werde auf ΓΔ die Senkrechte ΑΖ gefällt, und auf ΑΖ die Senkrechte ΒΗ, auf ΒΔ die Senkrechte ΑΕ. Nun ist klar, daſs ΒΔ und die Senkrechte darauf, ΑΕ, gegeben ist, da auch ΒΑ und ΑΔ gegeben sind. Und da Winkel ΓΒΔ = ΒΘΑ[1]), aber auch der rechte Winkel ΒΓΔ = dem rechten Winkel ΑΕΘ ist,

---

[1]) Θ ist Schnittpunkt von ΑΖ und ΒΔ.

ΒΘΕ. καὶ ἔστιν ἴσον τῷ ὑπὸ τῶν ΑΘΗ· ὀρθὴ γὰρ ἑκατέρα τῶν πρὸς τοῖς Ε, Η. δοθεῖσα ἄρα καὶ ἡ ΗΘ· ὥστε καὶ ἡ ΑΗ· ἀλλὰ καὶ ἡ ΗΖ· ἴση γάρ ἐστι τῇ ΒΓ· καὶ ὅλη ἄρα ἡ ΑΖ δοθεῖσά ἐστιν. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως· | fol. 75$^{\mathrm{v}}$ ἔστω γὰρ ἡ μὲν ΑΒ μονάδων ιγ, ἡ δὲ ΒΓ μονάδων ι, ἡ δὲ ΓΔ μονάδων κ, ἡ δὲ ΔΑ μονάδων ιζ. ἀκολούθως δὴ τοῖς ἐπὶ τοῦ ἐμβαδοῦ εἰρημένοις ἔσται ἡ μὲν ΑΕ κάθετος δυνάμει ϙϛ∟έί, ἡ δὲ ΒΕ δυνάμει οβ έ, ἡ δὲ ΒΔ δυνάμει φ. καὶ ἐπεὶ ἡ μὲν ΓΔ ἐστὶ μονάδων κ, ἡ δὲ ΓΒ μονάδων ι, τὰ ἄρα ἀπὸ τούτων μονάδων υ καὶ μονάδων ρ. ποίησον οὖν ὡς τὰ υ πρὸς ρ, τὰ ϙϛ $\overset{\langle\varepsilon'\rangle}{\delta}$ πρὸς τί· ἔσται πρὸς κδ έ· τοσούτου ἔσται τὸ ἀπὸ Ε⟨Θ⟩. καὶ ⟨πο⟩λλα ⟨πλασιάσαντες⟩ τὰ οβ έ ἐπὶ τὰ κδ έ καὶ τῶν γενομένων τὴν πλευρὰν λαβόντες καὶ διπλασιάσαντες ἃ γίγνεται τοῦ δὶς ὑπὸ τῶν ΒΕ ⟨ΕΘ⟩ προσθήσομεν τοῖς ἀπὸ ΒΕ, ΕΘ, τουτέστι τοῖς οβ έ καὶ κδ έ συντεθεῖσιν. καὶ ἕξομεν τὴν ΒΘ δυνάμει ρπ. καὶ σύνθες τὰ ϙϛ ∟ έ ί καὶ κδ έ· γίγνεται ρκα. καὶ πολλαπλασίασον τὰ ρπ ἐπὶ τὰ κδ έ· γίγνεται δυνάμει ͵δτνϛ. μέρισον εἰς τὸν ρκα· γίγνεται λϛ. καὶ ἄφελε ἀπὸ δυνάμει ρκα δυνάμει λϛ [λοιπὰ δυνάμει λϛ] λοιπὰ δυνάμει κε, ἅ ἐστι μήκει ε. πρόσθες ὅσων ἐστὶν ἡ ΒΓ· ἔστι δὲ ι· γίγνεται ιε· τοσούτου ἔσται ἡ ΑΖ κάθετος. καὶ ἡ μὲν ΕΘ δυνάμει κδ έ, ἡ δὲ ΗΘ μήκει ϛ, ἡ δὲ ΑΘ μήκει ια.

---

9 ϙϛ∟ε′ι′ε: sed extremam litteram del. m. 1 14 supplevit m. 2 17 ⟨ΕΘ⟩ add. m. 2 19 συνθέντες: corr. m. 2 23 [λοιπὰ δυνάμει λϛ] del. m. 2 24 ὅσον: correxi 25 τοσοῦτον: correxi

so ist $\varDelta\varGamma : \varGamma B = AE : E\varTheta$. Nun ist aber das Verhältnis von $\varGamma\varDelta$ zu $\varGamma B$ gegeben; also ist auch das Verhältnis von AE zu $E\varTheta$ gegeben. Und gegeben ist AE; gegeben also auch $E\varTheta$; und sie umschlieſsen einen rechten Winkel, also ist auch $A\varTheta$ gegeben. Und da jede der beiden Geraden BE und $E\varTheta$ gegeben ist, so ist $B\varTheta \times \varTheta E$ gegeben, und es ist gleich $A\varTheta \times \varTheta H$. Denn jeder der beiden Winkel bei E und H ist gleich einem rechten. Gegeben ist also auch $H\varTheta$; sodaſs auch AH gegeben ist, ebenso aber auch HZ, denn es ist gleich $B\varGamma$. Also ist auch AZ ganz gegeben. Berechnet wird es nun, der Analyse entsprechend, folgendermaſsen. Es sei $AB = 13$, $B\varGamma = 10$, $\varGamma\varDelta = 20$, $\varDelta A = 17$. Entsprechend nun dem beim Inhalt Bemerkten wird die Höhe im Quadrat $= 96\frac{1}{2} + \frac{1}{5} + \frac{1}{10}$ sein. Es ist aber $BE^2 = 72\frac{1}{5}$ und $B\varDelta^2 = 500$. Und da $\varGamma\varDelta = 20$, $\varGamma B = 10$, so sind ihre Quadrate 400 und 100. Setze nun $400 : 100 = 96\frac{4}{5} : x$. Dann wird $x = 24\frac{1}{5}$ sein. So groſs wird $E\varTheta^2$ sein. Wir multiplizieren nun $72\frac{5}{1}$ mit $24\frac{1}{5}$ und ziehen aus dem Produkt die Wurzel, nehmen den doppelten Wert von $BE \times E\varTheta$, und setzen dies zu $BE^2 + E\varTheta^2$, d. h. zu $72\frac{1}{5} + 24\frac{1}{5}$ hinzu und erhalten $B\varTheta^2 = 180$.

$$96\tfrac{1}{2} + \tfrac{1}{5} + \tfrac{1}{10} + 24\tfrac{1}{5} = 121$$

$$\left(180 \times 24\tfrac{1}{5}\right)^2 = 4356$$

$$\tfrac{4356}{121} = 36$$

$$\sqrt{121} - \sqrt{36} = \sqrt{25}$$

$$\sqrt{25} = 5$$

$$5 + 10 = 15.$$

So groſs wird die Höhe AZ sein. Und es ist $E\varTheta^2 = 24\frac{1}{5}$ $H\varTheta = 6$, $A\varTheta = 11$.

ις. Ἔστω δὴ πάλιν τραπέζιον τὸ ΑΒΓΔ ἔχον τὴν μὲν πρὸς τῷ Γ ὀρθήν, τὴν δὲ ΑΒ μονάδων ιγ, τὴν δὲ ΒΓ μονάδων ι, τὴν δὲ ΓΔ μονάδων η, τὴν δὲ ΑΔ μονάδων κε. εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. ἐπεζεύχθω ἡ ΒΔ. ὁμοίως δὴ ἔσται τοῦ ΒΓΔ τριγώνου τὸ ἐμβαδὸν δοθέν. καὶ τὸ ἀπὸ τῆς ΒΔ μονάδων ρξδ· ἀλλὰ καὶ fol. 76ʳ τὸ ἀπὸ τῆς | ΑΒ μονάδων ρξθ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ ΒΔ ἔσται μονάδων τλγ. καὶ ἔστιν ἐλάσσονα τοῦ ἀπὸ τῆς ΑΔ. ἀμβλεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΔ. ἤχθω δὴ κάθετος ἐπὶ τὴν ΒΔ ἐκβληθεῖσαν ἡ ΑΕ· τὸ ἄρα ἀπὸ τῆς ΑΔ τῶν ἀπὸ τῶν ΑΒ ΒΔ μεῖζόν ἐστι τῷ δὶς ὑπὸ τῶν ΒΔ ΒΕ· δοθὲν ἄρα τὸ δὶς ὑπὸ τῶν ΒΔ ΒΕ· ὥστε καὶ τὸ ὑπὸ τῶν ΔΒ ΒΕ δοθέν ἐστιν. καὶ ἔστι πλευρὰ τοῦτο τοῦ ἀπὸ ΒΔ ἐπὶ τὸ ἀπὸ ΒΕ· δοθὲν ἄρα τὸ ἀπὸ ΒΔ ἐπὶ τὸ ἀπὸ ΒΕ. ἀλλὰ καὶ τὸ ἀπὸ ΒΔ. καὶ λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΕΒ δοθέν ἐστι. καὶ ὀρθή ἐστιν ἡ πρὸς τῷ Ε· δοθὲν ἄρα καὶ τὸ ἀπὸ ΑΕ. ὥστε καὶ τὸ ἀπὸ ΑΕ ἐπὶ τὸ ἀπὸ ΒΔ δοθέν ἐστιν. καὶ ἔστιν αὐτοῦ πλευρὰ ⟨τὸ⟩ ὑπὸ τῶν ΑΕ ΒΔ. δοθὲν ἄρα καὶ τὸ ὑπὸ ΑΕ ΒΔ. καὶ ἔστιν αὐτοῦ ἥμισυ τὸ ΑΒΔ τρίγωνον. δοθὲν ἄρα καὶ τὸ ΑΒΔ τρίγωνον· ὥστε καὶ ὅλον τὸ ΑΒΓΔ τετράπλευρον δοθέν ἐστιν. συντεθήσεται δὲ οὕτως· τὰ ι ἐφ᾽ ἑαυτά· γίγνεται ρ. καὶ τὰ η ἐφ᾽ ἑαυτά· γίνεται ξδ· ὁμοῦ ρξδ. καὶ τὰ ιγ ἐφ᾽ ἑαυτά· γίγνεται ρξθ· σύνθες· γίγνεται τλγ. καὶ τὰ κε ἐφ᾽ ἑαυτά· γίγνεται χκε. ἄφελε τὰ τλγ· γίγνεται λοιπὰ σϙβ. τούτων τὸ ἥμισυ· γίγνεται ρμϛ· ταῦτα ἐφ᾽ ἑαυτά· γίγνεται μονάδες ͵κατις· παρὰ τὸν ρξδ· γίγνεται

---

19 ⟨τὸ⟩ inserui 29 ταῦτα ante παρὰ inseruit m. 2

XVI. Es sei wiederum $AB\Gamma\Delta$ ein Trapez, in dem bei Γ ein rechter Winkel und $AB = 13$, $B\Gamma = 10$, $\Gamma\Delta = 8$, $A\Delta = 25$ ist. Zu finden seinen Inhalt. Man ziehe die Verbindungslinie $B\Delta$, dann ist in ähnlicher Weise (wie vorher) der Inhalt des Dreiecks $B\Gamma\Delta$ gegeben. Und es ist $B\Delta^2 = 164$; aber $AB^2 = 169$. Also wird

$$AB^2 + B\Delta^2 = 333$$

sein. Und dies ist kleiner als $A\Delta^2$. Also ist der Winkel $AB\Delta$ ein stumpfer. Es werde nun auf die Verlängerung von $B\Delta$ die Kathete AE gefällt. Also ist $A\Delta^2 - 2B\Delta \times BE = AB^2 + B\Delta^2$. Es ist also $2B\Delta \times BE$ gegeben, sodaſs auch $B\Delta \times BE$ gegeben ist, und es ist dieses $= \sqrt{B\Delta^2 \times BE^2}$. Gegeben ist also auch $B\Delta^2 \times BE^2$, aber auch $B\Delta^2$, und es ist also auch EB^2 gegeben. Und der Winkel bei E ist ein rechter; gegeben ist also auch AE^2, sodaſs auch $AE^2 \times B\Delta^2$ gegeben ist. Und die Wurzel daraus ist gleich $AE \times B\Delta$; also ist auch $AE \times B\Delta$ gegeben. Und die Hälfte hiervon ist das Dreieck $AB\Delta$; gegeben ist also



Fig. 19 a.



Fig. 19 b u. c.

ρκϑ καὶ $\overset{\rho\xi\delta}{\rho\xi}$· ταῦτα ἄφελε ἀπὸ τῶν ρξϑ· λοιπὰ λϑ καὶ $\overset{\rho\xi\delta'}{\delta}$. ταῦτα πολλαπλασίασον ἐπὶ τὸν ρξδ· γίγνεται ͵ςυ· ὧν πλευρὰ γίγνεται π· τούτων τὸ ἥμισυ· γίγνεται μ. ἔσται τοῦ *ΑΒΔ* τριγώνου τὸ ἐμβαδὸν μονάδων μ. ἀλλὰ καὶ τοῦ *ΒΓΔ* ὁμοίως μ· ὅλου ἄρα τοῦ *ΑΒΓΔ* τραπεζίου τὸ ἐμβαδὸν ἔσται μονάδων π, ὅπερ ἔδει δεῖξαι.

fol. 76^{v} Ὅσα μὲν οὖν ἔδει ἐπί τε τριπλεύρων καὶ τετραπλεύρων τεταγμένων εἰπεῖν, προγέγραπται· ἐὰν δὲ δέῃ καὶ τετραπλεύρου τυχόντος τὰς πλευρὰς λαβόντας τὸ ἐμβαδὸν εἰπεῖν, δεήσει καὶ μίαν διαγώνιον λαβεῖν αὐτοῦ, ὥστε διαιρεϑὲν αὐτὸ εἰς δύο τρίγωνα ἔχειν τὸ ἐμβαδὸν δοϑέν. ἐμάϑομεν γὰρ τριγώνου τῶν πλευρῶν δοϑεισῶν τὸ ἐμβαδὸν εὑρεῖν τῇ καϑολικῇ μεϑόδῳ. ἄνευ δὲ μιᾶς διαγωνίου ἀδύνατον ἔσται τὸ ἐμβαδὸν τοῦ τετραπλεύρου εἰπεῖν. τῶν γὰρ αὐτῶν πλευρῶν δοϑεισῶν τοῦ τετραπλεύρου μεταπίπτει τὸ ἐμβαδὸν διαρομβουμένου αὐτοῦ καὶ παρασπωμένου ἐν ταῖς αὐταῖς πλευραῖς. καὶ τὰ μὲν περὶ τῶν τριπλεύρων καὶ τετραπλεύρων ἐπὶ τοσοῦτον εἰρήσϑω, ἑξῆς δὲ περὶ τῶν ἰσοπλεύρων τε καὶ ἰσογωνίων εὐϑυγράμμων γράψομεν ἄχρι τοῦ δωδεκαγώνου, ἐπειδὴ τοῦτο συνεγγίζει μᾶλλον τῇ τοῦ κύκλου περιφερείᾳ.

ιζ. Ἔστω δὲ πρότερον τρίγωνον ἰσόπλευρον, οὗ ἑκάστη ἐστὶ πλευρὰ μονάδων ι. καὶ ἔστω τὸ *ΑΒΓ*. ἤχϑω κάϑετος ἐπὶ τὴν *ΓΒ* ἡ *ΑΔ*. ἐπεὶ διπλῆ ἐστιν ἡ *ΒΓ*, τουτέστιν ἡ *ΑΒ*, τῆς *ΒΔ*, τετραπλάσιον ἄρα τὸ ἀπὸ *ΑΒ* τοῦ ἀπὸ *ΒΔ*. ὥστε τριπλάσιον τὸ ἀπὸ *ΑΔ* τοῦ ἀπὸ *ΔΒ*. τοῦ δὲ ἀπὸ *ΔΒ* τετραπλάσιόν

---

11 ὡς τὸ: corr. man. 2

auch das Dreieck *ΑΒΔ*, so daſs auch das ganze Viereck *ΑΒΓΔ* gegeben ist. Berechnet wird es folgendermaſsen.

$$
\begin{aligned}
10^2 &= 100\\
8^2 &= 64\\
100 + 64 &= 164\\
13^2 &= 169\\
169 + 164 &= 333\\
25^2 &= 625\\
625 - 333 &= 292\\
\tfrac{292}{2} &= 146\\
146^2 &= 21\,316\\
21\,316 : 164 &= 129\tfrac{160}{164}\\
169 - 129\tfrac{160}{164} &= 39\tfrac{4}{164}\\
93\tfrac{4}{164} \times 164 &= 6400\\
\sqrt{6400} &= 80\\
\tfrac{80}{2} &= 40.
\end{aligned}
$$

Der Inhalt des Dreiecks *ΑΒΓ* wird = 40 sein. Aber auch *ΒΓΔ* ist = 40. Der Inhalt des ganzen Trapezes *ΑΒΓΔ* wird also = 80 sein, was zu zeigen war.

Alles nun, was bei den bestimmten Dreiecken und Vierecken gesagt werden muſste, ist vorstehend aufgezeichnet. Falls es aber gilt, wenn man von einem beliebigen Viereck die Seiten kennt, seinen Inhalt anzugeben, so wird man auch noch eine Diagonale desselben kennen müssen, sodaſs, da es dann in 2 Dreiecke geteilt ist, sein Inhalt gegeben ist. Denn wir lernten, wenn von einem Dreieck die Seiten gegeben sind, seinen Inhalt durch die allgemeine Methode zu finden. Ohne eine Diagonale dagegen wird es nicht möglich sein den Inhalt des Vierecks anzugeben. Denn wenn ebendieselben Seiten des Vierecks gegeben sind, so verändert sich sein Inhalt, wenn es dem Rhombus genähert und, mit Beibehaltung derselben Seiten, seitwärts verschoben wird. So viel über die ἐστι τὸ ἀπὸ ΒΓ. ἐπίτριτον ἄρα ἔσται τὸ ἀπὸ ΒΓ τοῦ ἀπὸ ΑΔ. τὸ ἄρα ἀπὸ ΒΓ πρὸς τὸ ἀπὸ ΑΔ λόγον ἔχει, ὃν δ πρὸς γ, καὶ πάντα ἐπὶ τὸν ἀπὸ ΒΙ, τουτέστιν τό τε ἀπὸ ΒΓ ἐφ' ἑαυτὸ καὶ τὸ ἀπὸ ΑΔ fol. 77^{r} ἐπὶ τὸ ἀπὸ ΒΓ. ἡ ἄρα ἀπὸ τῆς ΒΓ | δυνάμεως πρὸς τὸ ἀπὸ τῆς ΒΓ ἐπὶ τὸ ἀπὸ τῆς ΑΔ λόγον ἔχει, ὃν δ πρὸς γ, τουτέστιν ὃν ις πρὸς ιβ. τὸ δὲ ἀπὸ τῆς ΒΓ ἐπὶ τὸ ἀπὸ τῆς ΑΔ τὸ ὑπὸ ΑΔ ΒΓ ἐστὶν ἐφ' ἑαυτό, τουτέστι δύο τρίγωνα ἐφ' ἑαυτά. ἡ ἄρα ἀπὸ ΒΓ δυναμοδύναμις πρὸς δύο τρίγωνα ἐφ' ἑαυτὰ λόγον ἔχει, ὃν ις πρὸς ιβ· δύο δὲ τρίγωνα ἐφ' ἑαυτὰ ἑνὸς τριγώνου ἐφ' ἑαυτό ἐστιν τετραπλάσια. ἡ ἄρα ἀπὸ τῆς ΒΓ δυναμοδύναμις πρὸς ἓν τρίγωνον ἐφ' ἑαυτὸ λόγον ἔχει, ὃν ις πρὸς γ. καὶ ἔστι δοθεῖσα ἡ ἀπὸ ΒΓ δυναμοδύναμις, ἐπεὶ καὶ ἡ ΒΓ. δοθὲν ἄρα ἐστὶ τὸ ἐμβαδὸν τοῦ τριγώνου ἐφ' ἑαυτό· ὥστε καὶ αὐτὸ τὸ τρίγωνον δοθέν ἐστιν. συντεθήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως. τὰ ι ἐφ' ἑαυτά· γίγνεται ρ. ταῦτα ἐφ' ἑαυτά· γίγνεται $\overset{\alpha}{\mu}$· τούτων λαβὲ $\overset{\iota\varsigma'}{\gamma}$. γίγνεται ͵αωοε. τούτων πλευρὰν λαβέ· καὶ ἐπεὶ οὐκ ἔχει ῥητὴν πλευράν, εἰλήφθω ὡς ἐμάθομεν ἔγγιστα μετὰ διαφόρου. καὶ ἔσται τὸ ἐμβαδὸν μγ γ´.



Fig. 20.

---

11 δυναμο in mg. supplevit m. 1 20 δυναμοδυνάμεως: correxi

Dreiecke und Vierecke. Im folgenden aber werden wir über die gleichseitigen und gleichwinkligen gradlinigen Figuren bis zum Zwölfeck schreiben, da dieses sich mehr dem Umfang des Kreises annähert.

XVII. Es sei nun zunächst ein Dreieck gleichseitig, von dem jede Seite $= 10$ sei. Und es sei $AB\Gamma$. Auf ΓB werde die Höhe $A\Delta$ gefällt. Da nun $B\Gamma = AB = 2B\Delta$, so ist $AB^2 = 4B\Delta^2$, also

$$A\Delta^2 = 3\Delta B^2;$$

es ist aber $\Delta B^2 = \frac{1}{4}B\Gamma^2$; also ist $B\Gamma^2 = \frac{3}{4}A\Delta^2$. Mithin ist $B\Gamma^2 : A\Delta^2 = 4 : 3$, und (dies) alles werde mit $B\Gamma^2$ multipliziert, d. h. sowohl $B\Gamma^2$ mit sich selbst als auch $A\Delta^2$ mit $B\Gamma^2$; also $B\Gamma^4 : B\Gamma^2 \times A\Delta^2 = 4:3 = 16 : 12$. Es ist aber

$$B\Gamma^2 \times A\Delta^2 = (A\Delta \times A\Gamma)^2,$$



Fig. 21.

d. h. gleich dem Quadrat des doppelten Dreiecks. Also ist $B\Gamma^4$: Quadrat des doppelten Dreiecks $= 16 : 12$. Nun ist aber das doppelte Dreieck ins Quadrat $=$ 4mal 1 Dreieck ins Quadrat. Also ist $B\Gamma^4$: Dreiecksquadrat $= 16 : 3$. Nun ist $B\Gamma^4$ gegeben, da $B\Gamma$ gegeben ist. Also ist auch der Inhalt des Dreiecks ins Quadrat, mithin auch das Dreieck selbst gegeben.

Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen.

$$10^2 = 100$$
$$100^2 = 10000$$
$$10000 \times \tfrac{3}{16} = 1875.$$

Daraus ziehe die Wurzel: und da es keine rationale Wurzel hat, so soll sie annähernd mit Differenz genommen werden, und dann wird der Inhalt $= 43\frac{1}{3}$ sein.

Λῆμμα. Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ ὀρθὴν ἔχον τὴν πρὸς τῷ Γ, δύο δὲ πέμπτων ὀρθῆς τὴν πρὸς τῷ Α. δεῖξαι ὅτι τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑ ΑΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ ΑΓ. ἐκβεβλήσθω ἡ ΑΓ ἐπὶ τὸ Δ, καὶ τῇ ΑΓ ἴση κείσθω ἡ ΓΔ, καὶ ἐπεζεύχθω ἡ ΒΔ. ἴση ἄρα ἡ μὲν ΑΒ τῇ ΒΔ, ἡ δὲ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΓΒΔ. ἀλλὰ ἡ ὑπὸ ΓΒΑ γωνία τριῶν πέμπτων ἐστὶν ὀρθῆς διὰ τὸ τὴν ὑπὸ ΒΑΓ γωνίαν δύο πέμπτων εἶναι· ἡ ἄρα ὑπὸ ΑΒΔ γωνία ἓξ πέμπτων ἐστὶν ὀρθῆς· πενταγώνου ἄρα ἐστὶ γωνία ἡ ὑπὸ ΑΒΔ. καὶ ἔστιν ἴση ἡ ΑΒ τῇ ΒΔ· | fol. 77^{v} τῆς ἄρα ΑΔ ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΒ. καὶ ἔστι τῆς ΑΔ ἡμίσεια ἡ ΑΓ· τὸ ἄρα ἀπὸ συναμφοτέρου τῆς ΒΑ ΑΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΓ.

ιη. Ἔστω πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕ, οὗ ἑκάστη πλευρὰ ἔστω μονάδων ι. εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. εἰλήφθω τὸ κέντρον τοῦ περὶ αὐτὸ κύκλου τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΖ, ΖΔ καὶ κάθετος ἐπὶ τὴν ΓΔ ἡ ΖΗ. ἔσται ἄρα ἡ ὑπὸ τῶν ΓΖΔ γωνία τεσσάρων πέμπτων ὀρθῆς· ἡ ἄρα ὑπὸ ΓΖΗ δύο πέμπτων ἐστὶν ὀρθῆς. καὶ ἔστιν ὀρθὴ ἡ ὑπὸ ΓΗΖ· τὸ ἄρα ἀπὸ συναμφοτέρου τῆς ΓΖ ΖΗ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΖΗ. ἀλλ ἐπεὶ ἐν ἀριθμοῖς οὐκ ἔστιν εὑρεῖν τετράγωνον τετραγώνου πενταπλάσιον, ὡς σύνεγγυς δεῖ λαβεῖν· ἔστι δὲ ὁ πα πρὸς ⟨ις.⟩ συναμφοτέρος ἄρα ὁ ΓΖ ΖΗ λόγον ἔχει πρὸς τὸν ΖΗ, ὃν θ πρὸς δ. καὶ διελόντι ὁ ΓΖ πρὸς ΖΗ λόγον ἔχει ⟨ὅ⟩ν ε πρὸς δ. καὶ τοῦ ⟨ἀπὸ⟩ ΓΖ ἄρα πρὸς ⟨τὸ⟩ ἀπὸ ΖΗ, ὃν κε πρὸς ις. καὶ λοιπὸς τοῦ ἀπὸ ΓΗ πρὸς ⟨τὸ⟩ ἀπὸ ΖΗ, ὃν θ πρὸς

Hülfssatz. Es sei $AB\Gamma$ ein rechtwinkliges Dreieck, das bei Γ einen rechten Winkel hat, und den Winkel bei A $= \frac{2}{5}$ eines Rechten. Zu zeigen, daſs $(BA + A\Gamma)^2 = 5 A\Gamma^2$ ist. Es werde $A\Gamma$ bis Δ verlängert und es sei $\Gamma\Delta = A\Gamma$ und es werde die Verbindungslinie $B\Delta$ gezogen. Also ist $AB = B\Delta$ und Winkel $AB\Gamma = \Gamma B\Delta$.

Nun ist aber Winkel $\Gamma BA = \frac{3}{5}$ eines Rechten, weil Winkel $BA\Gamma = \frac{2}{5}$ eines Rechten ist. Also ist Winkel $AB\Delta$ $= \frac{6}{5}$ eines Rechten. Mithin ist $AB\Delta$ der Winkel eines (regelmäſsigen) Fünfecks. Und es ist $AB = B\Delta$. Wenn nun $A\Delta$ nach dem goldnen Schnitt geteilt wird, so ist AB der gröſsere Abschnitt und es ist $A\Delta = 2 A\Gamma$. Also ist $(BA + A\Gamma^2) = 5 A\Gamma^2$.

XVIII. Es sei $AB\Gamma\Delta E$ ein gleichseitiges und gleichwinkliges Fünfeck, von dem jede Seite $= 10$ sein soll. Zu finden seinen Inhalt. Man nehme den Mittelpunkt des ihm umgeschriebenen Kreises Z und ziehe die Verbindungslinien ΓZ und $Z\Delta$ und fälle auf $\Gamma\Delta$ die Höhe ZH. Also wird der Winkel $\Gamma Z\Delta = \frac{4}{5}$ eines Rechten sein; folglich Winkel $\Gamma ZH = \frac{2}{5}$ R. Und $\Gamma ZH = 1$ R. Also ist $(\Gamma Z + ZH)^2 = 5 ZH^2$. Da es aber nicht möglich ist, in Zahlen ein Quadrat zu finden, das das Fünffache eines anderen Quadrats beträgt, so muſs man es annähernd nehmen. Es ist aber 81 : ⟨16⟩. Also ist



Fig. 22.

---

1 $\overline{\lambda\eta}$ $\overline{\mu}$ $\overline{\mu\alpha}$: correxi 2 et 3 πρὸς τὸ: correxi 20 ΖΔ: Δ ex Θ fec. m. 1 23 ΓΖΗ: çorr. m. 2 27 suppl. m. 2 28 δ in rasura m. 1 29 ἔχειν ε: correxi 29 spatium 3 litterarum; suppl. m. 3 30 et 31 ⟨τὸ⟩ addidi 31 ante τοῦ ins. ὁ m. 2

ις· τῆς ἄρα ΓΗ πρὸς ΗΖ λόγος, ὃν γ πρὸς δ· ὥστε τῆς ΓΔ πρὸς ΖΗ λόγος ἐστὶν, ὃν ϛ πρὸς δ, τουτέστιν ὃν γ πρὸς β· τὸ ἄρα ἀπὸ ΓΔ πρὸς τὸ ὑπὸ ΓΔ ΖΗ λόγον ἔχει, ὃν γ πρὸς β. καὶ ἔστι δοθὲν τὸ ἀπὸ τῆς ΓΔ· δοθὲν ἄρα καὶ τὸ ὑπὸ τῶν ΓΔ ΖΗ. καὶ ἔστι διπλάσιον τοῦ ΓΖΔ τριγώνου· δοθὲν ἄρα καὶ τὸ ΓΖΔ τρίγωνον. καὶ ἔστι πέμπτον μέρος τοῦ ΑΒΓΔΕ πενταγώνου· δοθὲν ἄρα καὶ τὸ πεντάγωνον. συντεθήσεται δὲ οὕτως· τὰ ι[ε] ἐφ' ἑαυτά· γίγνεται ρ. τούτων τὸ τρίτον· γίνεται λγ γ'. ταῦτα πεντάκις·
fol. 78r γίγνεται ρξϛ $\overset{γ'}{β}$. τοσού | του ἔσται τὸ ἐμβαδὸν τοῦ πενταγώνου ὡς ἔγγιστα· ἐὰν δὲ ἕτερον τετράγωνον ἑτέρου τετραγώνου πενταπλάσιον μᾶλλον ἐγγίζον λάβωμεν, ἀκριβέστερον εὑρήσομεν αὐτοῦ τὸ ἐμβαδόν.

ιθ. Ἔστω ἑξάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕΖ, οὗ ἑκάστη πλευρὰ ἀνὰ μονάδας ι. εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. εἰλήφθω τὸ κέντρον τοῦ περὶ αὐτὸ κύκλου τὸ Η, καὶ ἐπεζεύχθωσαν αἱ ΓΗ, ΗΔ. ἴση ἄρα ἐστὶν ἡ ΓΔ ἑκατέρᾳ τῶν ΓΗ, ΗΔ· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΓΗΔ τρίγωνον. καὶ ἔστιν αὐτοῦ ἡ πλευρὰ δοθεῖσα· δοθὲν ἄρα καὶ τὸ ΓΗΔ τρίγωνον.



Fig. 23.

$$\Gamma Z + ZH : ZH = 9 : \langle 4\rangle$$

$$\Gamma Z : ZH = 5 : 4$$

$$\Gamma Z^2 : ZH^2 = 25 : 16$$

$$\Gamma H^2 : ZH^2 = 9 : 16$$

$$\Gamma H : HZ = 3 : 4$$

$$\Gamma \Delta : ZH = 6 : 4 = 3 : 2$$

Also: $\Gamma \Delta^2 : \Gamma \Delta \times ZH = 3 : 2.$

Nun ist gegeben $\Gamma \Delta^2$, gegeben ist also auch $\Gamma \Delta \times ZH$ und dies ist zweimal so groſs als das Dreieck $\Gamma Z \Delta$. Gegeben ist also auch das Dreieck $\Gamma Z \Delta$ und es ist $\frac{1}{5}$ des Fünfecks $AB\Gamma\Delta E$. Gegeben ist also auch das Fünfeck. Berechnet wird es folgendermaſsen:

$$10^2 = 100$$

$$\tfrac{100}{3} = 33\tfrac{1}{3}$$

$$33\tfrac{1}{3} \times 5 = 166\tfrac{2}{3}.$$

So groſs wird der Inhalt des Fünfecks annähernd sein. Wenn wir aber eine andere Quadratzahl, die in gröſserer Annäherung das Fünffache einer zweiten Quadratzahl ist, nehmen, so werden wir seinen Inhalt genauer finden.

XIX. Es sei $AB\Gamma\Delta EZ$ ein gleichseitiges und gleichwinkliges Sechseck, von dem jede Seite $= 10$ sei. Zu finden seinen Inhalt. Man nehme den Mittelpunkt des ihm umgeschriebenen Kreises H und ziehe die Verbindungslinien ΓH und $H\Delta$. Dann ist $\Gamma\Delta = \Gamma H = H\Delta$. Also ist $\Gamma H\Delta$ ein gleichseitiges Dreieck. Und seine Seite ist gegeben, also ist auch das Dreieck $\Gamma H\Delta$ gegeben und ist $= \frac{1}{6}$ des Secksecks. Gegeben ist also auch das Sechseck $AB\Gamma\Delta EZ$. Berechnet wird es folgendermaſsen.

---

2 οϛ̄: correxi 9 ιε: correxi 9—10 φ. τούτων: correxi 11 γίνεται ρ: correxit m. 3 18 ἀνὰ $\overset{o}{μ}$ ι: f. ἀνὰ μονάδων ι, cf. Hultsch Her. reliqu. p. XIV. 28 ἰσοπλεύρων: corr. m. 1

καὶ ἔστιν ἕκτον μέρος τοῦ ἑξαγώνου· δοθὲν ἄρα καὶ τὸ ΑΒΓΔΕΖ ἑξάγωνον. συντεθήσεται δὲ οὕτως· τὰ ι ἐφ' ἑαυτά· γίνεται ρ. ταῦτα ἐφ' ἑαυτά· γίγνονται $\overset{\alpha}{\mu}$. *τούτων τὸ τέταρτον· γίγνεται ͵βφ. ταῦτα εἰκοσάκι καὶ ἑπτάκι· γίγνεται* $\overset{\varsigma}{\mu}$ *͵ζφ. τούτων λαβὲ πλευρὰν ἔγγιστα· γίγνεται σνθ. τοσούτου ἔσται τὸ ἐμβαδὸν τοῦ ἑξαγώνου.*

XI. Wenn der Durchmesser einer Kugel $= 10$ gegeben ist, ihren Körperinhalt zu finden. Archimedes in der Schrift über Kugel und Cylinder zeigt, daſs der Cylinder, der eine Basis hat, die gleich einem gröſsten Kreise der Kugel ist, und eine Höhe gleich dem Durchmesser der Kugel, $1\frac{1}{2}$ mal so groſs als die Kugel ist. Daher wird man nach diesem Satz 10^2 mit $\frac{11}{14}$ multiplizieren, dies mit der Höhe des Cylinders, d. h. 10, multiplizieren und von dem Produkt $\frac{2}{3}$ nehmen müssen, und so groſs den Körperinhalt der Kugel angeben müssen. Er ist $= 523\frac{17}{21}$. Nach demselben Satze wird bewiesen, daſs 11 mal die dritte Potenz des Durchmessers der Kugel $= 21$ mal der Kugelinhalt ist. Also



Fig. 54.

$$10^3 = 1000$$

$$1000 \times \frac{11}{21} = 523\frac{17}{21}.$$

So groſs hat man den Inhalt der Kugel anzugeben.

XII. Es sei ein Kugelsegment zu messen, dessen Basisdurchmesser $= 12$, dessen Höhe $= 2$ ist. Wiederum zeigt derselbe Archimedes, daſs jedes Kugelsegment zu dem Kegel, der mit ihm die gleiche Basis und gleiche Höhe hat, dasselbe Verhältnis hat, wie die Höhe des übrig bleibenden Segments vermehrt um den Radius zu eben dieser Höhe.[1] Es sei nun das genannte Kugelsegment

---

[1] D. h. zur Höhe des übrig bleibenden Segments.

---

1 *ἴσον*: correxi 3 *ημιονος*: sed *λι* suprascr. m. 1 5 *τω* $\overset{\iota\delta}{\iota\alpha}$: *τὸ ἑνδεκάκις ιδ* m. 2 11 *σφαίρα*: correxi 12 *δὲ* $\overset{\pi}{\alpha}$: correxi

ἀλλὰ καὶ ἡ ΔE δοθεῖσ⟨ά ἐστιν⟩. λόγος ἄρα καὶ τοῦ fol. 95^{r} κώνου, οὗ βάσις μέν ἐστιν ὁ περὶ διά|μετρον τὴν $A\Gamma$ κύκλος, ὕψος δὲ ἡ $B\Delta$, πρὸς τὸ τμῆμα τῆς σφαίρας ἐστὶν δοθείς· καὶ ἔστι δοθεὶς ὁ κῶνος· δοθὲν ἄρα καὶ τὸ τμῆμα τῆς σφαίρας. δεήσει δὲ κατὰ τὴν αὐτὴν ἀνάλυσιν λαβεῖν τῶν ιβ τὸ ἥμισυ καὶ ἐφ' ἑαυτὸ ποιῆσαι· ἔστι δὲ λς· καὶ ταῦτα παραβαλεῖν παρὰ τὸν β· γίγνεται ιη. καὶ προσθεῖναι τὰ β· γίγνεται κ. καὶ τούτων τὸ ἥμισυ γίγνεται ι· ταῦτα μετὰ τῶν ιη γίγνεται



Fig. 55.

κη· καὶ τὴν κάθετον δὶς ποιῆσαι, τουτέστι τὰ β· γίγνεται δ. ἐφ' ἑαυτὰ γίγνεται ις· ταῦτα ἐπὶ τὰ κη· γίγνεται υμη· τούτων τὸ $\overset{\iota\delta'}{\langle\iota\alpha\rangle}$· ⟨γίγνεται⟩ τνη· ⟨τούτων⟩ τὸ γ'· γίγνεται ριζ γ'. τοσοῦτον ἔσται τὸ στερεὸν τοῦ τμήματος. καὶ λουτῆρα δὲ ἀκολούθως μετρήσομεν τῇ τοῦ τμήματος μετρήσει· ἔστι γὰρ δύο τμημάτων ὑπεροχή. ἀπὸ τοῦ μείζονος οὖν ἀφελόντες τὸ ἔλασσον ἀποφα[ι]νούμεθα τὸ τοῦ λουτῆρος στερεόν. καὶ κόγχην δὲ ὁμοίως μετρήσομεν ὡς ἡμισφαιρίου ἢ τμήματος ἥμισυ

---

1 explevi; ἀλλὰ — δοθεὶς del. m. 2 3 κύκλον: corr. m. 2 5 f. ταύτην τὴν 7 παραλαβεῖν et τῶν: corr. m. 2 12 ἑνδεκάκις ιδ in ras. m. 2 τῶ γ': corr. et suppl. m. 2

---

das durch $AB\Gamma$ bestimmte, dessen Höhe $B\Delta$ ist; und der Mittelpunkt der Kugel sei Z. Also verhält sich das Kugelsegment zu dem erwähnten Kegel wie $\Delta E + EZ : \Delta E$. Und da $A\Gamma$ gegeben ist, so ist auch $A\Delta$ gegeben, also auch $A\Delta^2$, d. h. $B\Delta \times \Delta E$. Nun ist $B\Delta$ gegeben, also auch ΔE; mithin ist ganz BE gegeben. Daher auch EZ, also ist auch $\Delta E + EZ$ gegeben. Es ist aber auch ΔE gegeben. Also ist das Verhältnis des Kegels, dessen Basis der Kreis mit dem Durchmesser $A\Gamma$ und dessen Höhe $B\Delta$ ist, zu dem Kugelsegment gegeben. Nun ist der Kegel gegeben; also ist auch das Kugelsegment gegeben. Die Rechnung wird nach der Analyse folgende sein:

$\left(\frac{12}{2}\right)^2 = 36$

$36 : 2 = 18$

$18 + 2 = 20$

$\frac{20}{2} = 10$

$18 + 10 = 28$

$2 \times 2 = 4$

$4^2 = 16$ 1)

$16 \times 28 = 448$

$448 \times 14 = 352$

$352 : 3 = 117\frac{1}{3}$.

So groſs wird der Körperinhalt des Segments sein.

Auch ein Badeschaff werden wir der Messung des Segments entsprechend messen; denn es ist die Differenz zweier Segmente. Wenn wir nun von dem gröſseren das kleinere abgezogen haben, so werden wir den Körperinhalt des Badeschaffs angeben können. Auch eine Muschel werden wir ähnlich messen, als die Hälfte einer Halb-

---

1) Verständlicher wäre $2^2 = 4$
$4 \times 4 = 16$.

ὑπάρχουσαν. αἱ γὰρ ἐν αὐτῇ ξύσται ἐν ἀδιαφόρῳ παραλαμβάνονται εἰς τὰς μετρήσεις.

ιγ. Τῶν κωνικῶν καὶ κυλινδρικῶν καὶ σφαιρικῶν σχημάτων μεμετρημένων, ἐὰν δέῃ καὶ καμάρας ἐχούσας τὰ προειρημένα σχήματα μετρεῖν ἢ θόλους, ἀκολούθως τῇ ἐπὶ τοῦ λουτῆρος μετρήσει ποιήσομεν· τῆς γὰρ ἐντὸς ἐπιφανείας κοίλης οὔσης, τουτέστι κενῆς, πάλιν fol. 95ᵛ ἔσται ἑκάστη αὐτῶν | δύο ὁμοίων τμημάτων ὑπεροχή. ἔστω δὲ σπεῖραν μετρῆσαι πρότερον ἐκθέμενον τὴν γένεσιν αὐτῆς. ἔστω γάρ τις ἐν ἐπιπέδῳ εὐθεῖα ἡ AB καὶ δύο τυχόντα ἐπ' αὐτῆς σημεῖα. εἰλήφθω ὁ $B\Gamma\Delta E$ ⟨κύκλος⟩ ὀρθὸς ὢν πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, ἐν ᾧ ἐστιν ἡ AB εὐθεῖα, καὶ μένοντος τοῦ A σημείου περιφερέσθω κατὰ τὸ ἐπίπεδον ἡ AB, ἄχρι οὗ εἰς τὸ αὐτὸ ἀποκατασταθῇ συμπεριφερομένου καὶ τοῦ $B\Gamma\Delta E$ κύκλου ὀρθοῦ διαμένοντος πρὸς τὸ ὑποκείμενον ἐπίπεδον. ἀπογεννήσει ἄρα τινὰ ἐπιφάνειαν ἡ $B\Gamma\Delta E$ περιφέρεια, ἣν δὴ σπειρικὴν καλοῦσιν· κἂν μὴ ᾖ δὲ ὅλος ὁ κύκλος, ἀλλὰ τμῆμα αὐτοῦ, πάλιν ἀπογεννήσει τὸ τοῦ κύκλου τμῆμα σπειρικῆς ἐπιφανείας τμῆμα, καθάπερ εἰσὶ καὶ αἱ ταῖς κίοσιν ὑποκείμεναι σπεῖραι· τριῶν γὰρ οὐσῶν ἐπιφανειῶν ἐν τῷ καλουμένῳ ἀναγραφεῖ, ὃν δή τινες καὶ ἐμβολέα καλοῦσιν, δύο μὲν κοίλων τῶν ἄκρων, μιᾶς δὲ μέσης καὶ κυρτῆς, ἅμα περιφερόμεναι αἱ τρεῖς ἀπογεννῶσι τὸ εἶδος τῆς τοῖς κίοσιν ὑποκειμένης σπείρας. δέον οὖν ἔστω τὴν ἀπογεννηθεῖσαν σπεῖραν ὑπὸ τοῦ $B\Gamma\Delta E$ κύκλου μετρῆσαι. δεδόσθω ἡ μὲν AB μονάδων κ, ἡ δὲ $B\Gamma$ διάμετρος μονάδων ιβ. εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Z,

---

12 supplevi 22 diversus ἀναγραφεύς a Philone Byz. mech. synt. IV p. 52, 43 sq. memoratus 25 περιφερομένων: correxi

kugel oder eines Segments. Denn die Rillen an derselben werden als für die Messung unwesentlich behandelt.

XIII. Nachdem nun die kegelförmigen, cylindrischen und kugelförmigen Gebilde gemessen sind, werden wir, wenn es gilt Gewölbe oder Kuppeln von der angegebenen Gestalt zu messen, es dem Meſsverfahren beim Badeschaff entsprechend machen. Denn da die innere Oberfläche derselben hohl, d. h. leer ist, so wird wiederum jede von ihnen die Differenz zweier ähnlicher Segmente sein. Es sei nun eine Speira zu messen, nachdem vorher ihre Entstehung auseinandergesetzt ist.

Es sei in einer Ebene eine Gerade AB und auf ihr 2 beliebige Punkte. Nun nehme man den Kreis $B\Gamma\Delta E$, der rechtwinklig stehe zu der vorausgesetzten Ebene, in der die Gerade AB liegt, und während Punkt A festgelegt bleibt, drehe sich die Gerade AB in der Ebene, bis sie in ihre ursprüngliche Lage zurückkehrt, wobei sich der Kreis $B\Gamma\Delta E$, zu der vorausgesetzten Ebene rechtwinklig verbleibend, mitdrehen soll. Es wird also die Peripherie $B\Gamma\Delta E$ eine Oberfläche erzeugen, welche man „speirisch“ nennt. Wenn es aber nicht ein vollständiger Kreis ist, sondern ein Kreisabschnitt, so wird wieder der Kreisabschnitt den Abschnitt einer speirischen Oberfläche erzeugen, wie es auch die Speiren, die als



Fig. 56.

καὶ ἀπὸ τῶν Α, Ζ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἤχθωσαν αἱ ΔΖΕ ΑΗΘ. καὶ διὰ τῶν Δ, Ε τῇ ΑΒ παράλληλοι ἤχθωσαν αἱ ΔΗ ΕΘ. δέδεικται δὲ Διονυσοδώρῳ ἐν τῷ περὶ τῆς σπείρας ἐπιγραφομένῳ, ὅτι ὃν λόγον ἔχει ὁ ΒΓΔΕ κύκλος πρὸς τὸ ἥμισυ τοῦ ΔΕΗΘ παραλληλογράμμου, τοῦτον ἔχει καὶ ἡ γεννηθεῖσα σπεῖρα ὑπὸ τοῦ ΒΓΔΕ κύκλου πρὸς τὸν κύλινδρον, οὗ ἄξων μέν ἐστιν ὁ ΗΘ, ἡ δὲ ἐκ τοῦ κέντρου τῆς βάσεως ἡ ΕΘ. ἐπεὶ οὖν ἡ ΒΓ μονάδων ιβ ἐστίν, ἡ ἄρα ΖΓ fol. 96r ἔσται | μονάδων ϛ. ἔστι δὲ καὶ ἡ ΑΓ μονάδων η· ἔσται ἄρα ἡ ΑΖ μονάδων ιδ, τουτέστιν ἡ ΕΘ, ἥτις ἐστὶν ἐκ τοῦ κέντρου τῆς βάσεως τοῦ εἰρημένου κυλίνδρου· δοθεὶς ἄρα ἐστὶν ὁ κύκλος· ἀλλὰ καὶ ὁ ἄξων δοθείς· ἔστιν γὰρ μονάδων ιβ, ἐπεὶ καὶ ἡ ΔΕ. ὥστε δοθεὶς καὶ ὁ εἰρημένος κύλινδρος· καὶ ἔστι τὸ ΔΘ παραλληλόγραμμον ⟨δοθέν⟩· ὥστε καὶ τὸ ἥμισυ αὐτοῦ. ἀλλὰ καὶ ὁ ΒΓΔΕ κύκλος· δοθεῖσα γὰρ ἡ ΓΒ διάμετρος. λόγος ἄρα τοῦ ΒΓΔΕ κύκλου πρὸς τὸ ΔΘ παραλληλόγραμμον δοθείς· ὥστε καὶ τῆς σπείρας πρὸς τὸν κύλινδρον λόγος ἔστι δοθείς. καὶ ἔστι δοθείς ὁ κύλινδρος· δοθὲν ἄρα καὶ τὸ στερεὸν τῆς σπείρας. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως. ἄφελε ἀπὸ τῶν κ τὰ ⟨ι⟩β· λοιπὰ η. καὶ πρόσθες τὰ κ· γίγνεται κη· καὶ μέτρησον κύλινδρον, οὗ ἡ μὲν διάμετρος τῆς βάσεώς ἐστι μονάδων κη, τὸ δὲ ὕψος ιβ· καὶ γίγνεται τὸ στερεὸν αὐτοῦ ͵ζτϙβ. καὶ μέτρησον κύκλον, οὗ διάμετρός ἐστι μονάδων ιβ· γίγνεται τὸ ἐμβαδὸν αὐτοῦ, καθὼς ἐμάθομεν, ριγ ζ′· καὶ λαβὲ τῶν κη τὸ ἥμισυ· γίγνεται ιδ. ἐπὶ τὸ ἥμισυ τῶν ιβ· γίγνεται πδ·

---

13 κύλινδρος: corr. Heiberg 16 supplevi

Säulenbasen dienen, sind. Denn da 3 Oberflächen an dem sog. ἀναγραφεύς sind, den manche auch ἐμβολεύς nennen, 2 äuſsere concave, und eine mittlere convexe, die sich gleichzeitig drehen, so erzeugen die drei die Gestalt der Speira, wie sie die Säulenunterlagen haben. Es sei nun die von dem Kreis ΒΓΔΕ erzeugte Speira zu messen. Gegeben sei ΑΒ = 20, der Durchmesser ΒΓ = 12. Man nehme den Mittelpunkt des Kreises Ζ und ziehe von Α und Ζ im rechten Winkel zu der vorausgesetzten Ebene die Geraden ΔΖΕ und ΑΗΘ, und durch Δ und Ε zu ΑΒ die Parallelen ΔΗ und ΕΘ. Nun ist von Dionysodoros in der Schrift über die Speira nachgewiesen, daſs dasselbe Verhältnis, das der Kreis ΒΓΔΕ zu der Hälfte des Parallelogramms ΔΕΗΘ hat, auch die von dem Kreise ΒΓΔΕ erzeugte Speira zu dem Cylinder hat, dessen Axe ΗΘ und dessen Basisradius ΕΘ ist. Da nun ΒΓ = 12 ist, so wird ΖΓ = 6 sein. Es ist aber ΑΓ = 8, also wird ΑΖ = 14 sein, also ΕΘ = 14, welches der Radius der Basis des bezeichneten Cylinders ist. Mithin ist der Kreis gegeben. Aber auch die Axe ist gegeben; sie ist nämlich = 12, da so groſs auch ΔΕ ist. Daher ist auch der genannte Cylinder gegeben. Auch ist das Parallelogramm ΔΘ gegeben, also auch seine Hälfte; aber auch der Kreis ΒΓΔΕ, denn sein Durchmesser ΓΒ ist gegeben. Also ist das Verhältnis des Kreises ΒΓΔΕ zu dem Parallelogramm ΔΘ gegeben; mithin ist auch das Verhältnis der Speira zu dem Cylinder gegeben. Nun ist der Cylinder gegeben; also ist auch der Körperinhalt der Speira gegeben. Berechnet wird er, der Analyse entsprechend, folgendermaſsen

$$20 - 12 = 8$$
$$20 + 8 = 28.$$

Miſs einen Cylinder, dessen Basisdurchmesser = 28 und dessen Höhe = 12 ist; sein Körperinhalt ist 7392. Miſs einen Kreis, dessen Durchmesser = 12 ist; sein Inhalt ist, wie wir lernten, = $113\frac{1}{7}$.

καὶ πολλαπλασιάσας τὰ [$\overset{o}{\mu}$] ,ζτϙβ ἐπὶ τὰ ριγ ζ΄· καὶ τὰ γενόμενα παράβαλε παρὰ τὸν πδ· γίγνεται ,θϡνϛ $\overset{\zeta'}{\delta}$. τοσούτου ἔσται τὸ στερεὸν τῆς σπείρας. δυνατὸν δέ ἐστι καὶ ἄλλως μετρῆσαι. ἐπεὶ γὰρ ἡ *AZ* ἐστὶ μονάδων ιδ, καὶ ἔστιν ἐκ τοῦ κέντρου, ἡ ἄρα διάμετρός ἐστι μονάδων κη· ὥστε ἡ περιφέρεια τοῦ κύκλου γίγνεται μονάδων πη· ἁπλωθεῖσα ἄρα ἡ σπεῖρα καὶ γενομένη ὡς κύλινδρος ἕξει τὸ μῆκος μονάδων πη· καὶ ἔστιν ἡ διάμετρος τῆς βάσεως τοῦ κυλίνδρου, τουτέστιν ἡ *ΒΓ*, μονάδων ιβ· ὥστε τὸ στερεὸν τοῦ κυλίνδρου, ὡς ἐμάθομεν, ἔσται μονάδων ,ζτϙβ. πάλιν ,θϡνϛ $\overset{\zeta'}{\delta}$.

fol. 96^{v} ιδ. | Ἔστω κυλίνδρου τμῆμα μετρῆσαι τετμημένου διὰ τοῦ κέντρου μιᾶς τῶν βάσεων· καὶ ἔστω ἡ μὲν διάμετρος τῆς βάσεως ἡ *ΑΒ* μονάδων ζ, τὸ δὲ ὕψος τοῦ τμήματος μονάδων κ· ἀποδέδειχεν Ἀρχιμήδης ἐν τῷ ἐφοδικῷ, ὅτι τὸ τοιοῦτον τμῆμα ἕκτον μέρος ἐστὶ τοῦ στερεοῦ παραλληλεπιπέδου τοῦ βάσιν μὲν ἔχοντος τὸ περιγραφόμενον περὶ τὴν βάσιν τοῦ κυλίνδρου τετράγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ τμήματι. δοθὲν δὲ τὸ στερεὸν παραλληλεπίπεδον· δοθὲν ἄρα καὶ τὸ τμῆμα τοῦ κυλίνδρου· ὅθεν δεήσει τὰ ζ ἐφ' ἑαυτὰ ποιήσαντα πολλαπλασιάσαι ἐπὶ τὸ ὕψος, τουτέστιν ἐπὶ τὰ κ· γίγνεται ϡπ· καὶ τούτων τὸ ἕκτον γίγνεται ρξγ γ΄. τοσούτου ἔσται τὸ τμῆμα τοῦ κυλίνδρου.

ιε. Ὁ δ' αὐτὸς Ἀρχιμήδης ἐν τῷ αὐτῷ βιβλίῳ δείκνυσιν, ὅτι ἐὰν εἰς κύβον δύο κύλινδροι διωσθῶσιν τὰς βάσεις ἔχοντες ἐφαπτομένας τῶν πλευρῶν τοῦ κύβου, τὸ κοινὸν τμῆμα τῶν κυλίνδρων δίμοιρον ἔσται

---

1 delevi; f. πολλαπλασίασον 2 ,θϡϙϛ δ΄ ϛ΄: correxi 8 ὡς supra lin. add. m. 1 11 ,ζϡϙβ: correxi. ,θϡνϛ δ΄: correxi

$$\frac{28}{2} = 14$$

$$14 \times \frac{12}{2} = 84$$

$$\left(7392 \times 113\tfrac{1}{7}\right) : 84 = 9956\tfrac{4}{7}\cdot$$

So groſs wird der Inhalt der Speira sein.

Man kann sie aber auch anders messen. Da nämlich $AZ = 14$ und ein Radius ist, so wird der Durchmesser $= 28$ sein. Die Peripherie des Kreises ergiebt sich daher $= 88$. Wenn also die Speira aufgerollt und gleichsam ein Cylinder wird, so wird sie die Länge 88 haben. Nun ist der Durchmesser der Basis des Cylinders, d. h. $B\Gamma, = 12$. Daher wird der Körperinhalt des Cylinders, wie wir lernten, $= 7392$ sein. Wiederum ergiebt sich $9956\frac{4}{7}\cdot$

XIV. Es sei ein Abschnitt eines Cylinders zu messen, der durch den Mittelpunkt einer der Basen geschnitten wird (ein sog. Cylinderhuf); und es sei der Durchmesser der Basis, $AB, = 7$, die Höhe des Abschnittes $= 20$. Archimedes hat in dem *ἐφοδικόν* nachgewiesen, daſs ein solcher Abschnitt der sechste Teil des Parallelepipedons ist, das zur Basis das der Basis des Cylinders umgeschriebene Viereck und dieselbe Höhe wie der Abschnitt hat. Nun ist das Parallelepipedon gegeben; also ist auch der Abschnitt des Cylinders gegeben. Also:



Fig. 57.

$$7^2 \times 20 = 980$$

$$\frac{980}{6} = 163\tfrac{1}{3}.$$

So groſs wird der Abschnitt des Cylinders sein.

fol. 97ʳ τοῦ κύβου. τοῦτο δὲ εὔχρηστον | τυγχάνει πρὸς τὰς οὕτως κατασκευαζομένας καμάρας, αἳ γίγνονται ἐπὶ πλεῖστον ἔν τε ταῖς κρήναις καὶ βαλανείοις, ὅταν αἱ εἴσοδοι ἢ τὰ φῶτα ἐκ τῶν τεσσάρων μερῶν ὑπάρχῃ· καὶ ὅπου ξύλοις οὐκ εὔϑετοι στεγάζεσϑαι τοὺς τόπους.

Ἀκόλουϑον δέ ἐστι καὶ τὰς τῶν πέντε σχημάτων τῶν Πλάτωνος καλουμένων, λέγω δὴ κύβου τε καὶ πυραμίδος καὶ ὀκταέδρου, ἔτι δὲ καὶ δωδεκαέδρου καὶ εἰκοσαέδρου, τὰς μετρήσεις προσεντάξαι. ὁ μὲν οὖν κύβος φανερὰν τὴν μέτρησιν ἔχει· δεῖ γὰρ κυβίσαι τὰς διδομένας τῆς πλευρᾶς αὐτοῦ μονάδας καὶ ἀποφαίνεσϑαι αὐτοῦ τὸ στερεόν.

ιϛ. Ἔστω δὲ πυραμίδα μετρῆσαι, ἧς βάσις μέν ἐστι τὸ ΑΒΓ ⟨ἰσόπλευρον⟩ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. ἧς ἑκάστη[ς] πλευρὰ[ς] ἔστω μονάδων ιβ. εἰλήφϑω τὸ κέντρον τοῦ περὶ τὸ ΑΒΓ τρίγωνον κύκλου τὸ Ε· καὶ ἐπεξεύχϑωσαν αἱ ΔΕ ΕΓ· τὸ ἄρα ἀπὸ τῆς ΒΓ, τουτέστι τὸ ἀπὸ τοῦ ΓΔ, τριπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΕ· ἡμιόλιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔΕ· καὶ ἔστι τὸ ἀπὸ ΓΔ μονάδων ρμδ. τὸ ἄρα ἀπὸ ΔΕ ἔσται μονάδων ϙϛ· αὐτὴ δε ἡ ΔΕ ὡς ἔγγιστα μονάδων ϑ∟γ'· ἐπεὶ οὖν ἑκάστη τῶν ΑΒ ΒΓ ΓΑ δέδοται, ⟨δέδοται⟩ δὲ καὶ ἡ κάϑετος ἡ ΔΕ, δοϑὲν ἄρα καὶ τὸ στερεὸν τῆς πυραμίδος. ὥστε δεήσει τὸ ἐμβαδὸν τοῦ ΑΒΓ ἰσοπλεύρου τριγώνου ὡς ἐμάϑομεν πολλαπλασιάσαι ἐπὶ τὰς ϑ∟γ'· καὶ τῶν γιγνομένων τὸ τρίτον λαβόντα ἀποφαίνεσϑαι τὸ τῆς πυραμίδος στερεόν.

fol. 97ᵛ ιζ. | Ἔστω δὲ ὀκτάεδρον μετρῆσαι, οὗ ἑκάστη πλευρά ἐστι μονάδων ζ. ἔστω τὸ εἰρημένον ὀκτάεδρον, οὗ

---

3 ἔνται ταῖς: correxi 5 f. εὐϑετεῖ 6 τὰς f. delendum
23 ⟨δέδοται⟩ addidi; πρὸς add. m. 2

XV. Derselbe Archimedes weist in demselben Buche nach, daſs, wenn in einen Würfel zwei sich durchdringende Cylinder eingesetzt werden, deren Basen die Seiten des Würfels berühren, der gemeinsame Abschnitt der Cylinder gleich $\frac{2}{3}$ des Würfels sein wird. Dieser Satz ist verwendbar für die in dieser Weise gebauten Gewölbe, welche meist an Quellen und Bädern vorkommen, wenn die Eingänge oder Fenster auf allen vier Seiten sind, und wo es nicht angängig ist, daſs die Orte mit Balken gedeckt werden.

Das Nächste ist, daſs wir auch die Meſsmethoden der sogenannten 5 Körper des Platon, ich meine des Würfels, der Pyramide und des Oktaeders, weiter aber auch des Dodekaeders und Ikosaeders einfügen. Wie nun der Würfel zu messen ist, ist klar. Man muſs nämlich die gegebenen Maſseinheiten seiner Seite in die dritte Potenz erheben und so groſs seinen Körperinhalt angeben.

XVI. Es sei aber nun eine Pyramide zu messen, deren Basis das gleichseitige Dreieck $AB\Gamma$ und deren Spitze der Punkt Δ ist; jede ihrer Seiten sei $= 12$. Man nehme den Mittelpunkt des dem Dreieck $AB\Gamma$ umbeschriebenen Kreises, E, und ziehe die Verbindungslinien ΔE und $E\Gamma$. Also ist $B\Gamma^2 = \Gamma\Delta^2 = 3\,\Gamma E^2$. Also ist $\Gamma\Delta^2 = 1\frac{1}{2}\,\Delta E^2$. Nun ist $\Gamma\Delta^2 = 144$. Also $\Delta E^2 = 96$; und ΔE selbst annähernd $= 9\frac{1}{2} + \frac{1}{3}$. Da nun jede der Geraden AB, ΓB, ΓA gegeben ist, aber auch die Kathete ΔE gegeben ist, so ist auch der Körperinhalt der Pyramide gegeben. Man wird daher den Inhalt des gleichseitigen Dreiecks $AB\Gamma$ multiplizieren müssen mit $9\frac{1}{2} + \frac{1}{3}$ und, nachdem man von dem Produkt den dritten Teil genommen hat, so groſs den Körperinhalt der Pyramide angeben müssen.

XVII. Es sei ein Oktaeder zu messen, von dem jede Seite $= 7$. Es sei das bezeichnete Oktaeder dasjenige, dessen Winkel an den Punkten A, B, Γ, Δ, E, Z liegen sollen. Dieses setzt sich zusammen aus zwei Pyramiden, γωνίαι ἔστωσαν αἱ πρὸς τοῖς $AB\Gamma\Delta EZ$ σημείοις· τοῦτο δὲ σύγκειται ἐκ δύο πυραμίδων, ὧν βάσις κοινὴ τὸ $AB\Gamma\Delta$ τετράγωνον, κορυφαὶ δὲ τὰ E, Z σημεῖα· ἑκατέρας ἄρα αὐτῶν τριπλάσιόν ἐστι τὸ στερεὸν παραλληλεπίπεδον, οὗ βάσις μέν ἐστι τὸ $AB\Gamma\Delta$, ὕψος δὲ τὸ ἥμισυ τῆς EZ· ὥστε ὅλου τοῦ ὀκταέδρου τριπλάσιόν ἐστι τὸ στερεὸν παραλληλεπίπεδον, οὗ βάσις μὲν τὸ $AB\Gamma\Delta$ τετράγωνον, ὕψος δὲ ἡ EZ διάμετρος. ἐπεὶ οὖν ἐστι τὸ ἀπὸ τῆς EA μονάδων μϑ, τὸ ἄρα ἀπὸ τῆς EZ ἔσται ϙη· ἡ ἄρα EZ ὡς ἔγγιστα ἔσται μονάδων ι. ἐπεὶ οὖν ἡ AB ἐστὶ μονάδων ζ, τὸ ἄρα $AB\Gamma\Delta$ τετράγωνον ἔσται μονάδων μϑ· καὶ ἔστιν ἡ EZ ὕψος τοῦ στερεοῦ· τὸ ἄρα στερεὸν παραλληλεπίπεδον ἔσται μονάδων υϙ· καὶ ἔστι τριπλάσιον τοῦ ὀκταέδρου· τὸ ἄρα ὀκτάεδρον ἔσται ρξγ γ´· τοσούτου ἔσται τὸ στερεόν.

ιη. Ἔστω εἰκοσάεδρον ⟨μετρῆσαι⟩, οὗ ἑκάστη τῶν πλευρῶν ἔστω μονάδων ι. ἐπεὶ οὖν τὸ εἰκοσάεδρον ὑπὸ εἴκοσι τριγώνων ἰσοπλεύρων περιέχεται, νενοήσθωσαν ἀπὸ τοῦ κέντρου τῆς σφαίρας ἐπιζευγμέναι fol. 98r ⟨εὐθεῖαι⟩ ἐπὶ τὰς τῶν τριγώνων γωνίας· ἔ|σονται ἄρα εἴκοσι πυραμίδες ἴσαι βάσεις μὲν ἔχουσαι τὰ τοῦ εἰκοσαέδρου τρίγωνα, κορυφὰς δὲ τὸ κέντρον τῆς σφαίρας· καὶ μία αὐτῶν ⟨νε⟩νοήσθω, ἧς βάσις μέν ἐστι τὸ $AB\Gamma$ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον, καὶ εἰλήφθω τὸ κέντρον τοῦ περὶ τὸ $AB\Gamma$ τρίγωνον κύκλου τὸ E. καὶ ἐπεζεύχθω ἡ ΔE· ἐπεὶ οὖν ἡ τοῦ εἰκοσαέδρου πλευρὰ πρὸς τὴν ἀπὸ τοῦ κέντρου τῆς σφαίρας κάθετον ἀγομένην ἐπὶ ἓν τῶν τοῦ εἰκοσαέδρου τριγώνων λόγον ἔχει, ⟨ὃν⟩ τὰ ρκζ πρὸς τὰ ϙγ, καὶ ἔστιν ἡ τοῦ εἰκοσαέδρου πλευρὰ μονάδων υ, ἔσται ἄρα ἡ

deren gemeinschaftliche Basis das Quadrat $AB\Gamma\Delta$, und deren Spitzen die Punkte E und Z sind. Also ist dreimal so groſs als jede dieser beiden das Parallelepipedon, dessen Basis $AB\Gamma\Delta$ und dessen Höhe $\frac{EZ}{2}$ ist. Daher ist dreimal so groſs als das ganze Oktaeder das Parallelepipedon, dessen Basis das Quadrat $AB\Gamma\Delta$ und dessen Höhe der Durchmesser EZ ist. Da nun $EA^2 = 49$ ist, so wird $EZ^2 = 98$ sein. Also wird EZ annähernd $= 10$ sein. Da nun $AB = 7$, so wird das Quadrat $AB\Gamma\Delta = 49$ sein. Nun ist EZ die Höhe des Körpers; das Parallelepipedon wird also $= 490$ sein. Nun ist es dreimal so groſs als das Oktaeder; das Oktaeder wird also $= 163\frac{1}{3}$ sein. So groſs wird sein Körperinhalt sein.



Fig. 58.

XVIII. Es sei ein Ikosaeder zu messen, von dem jede Seite $= 10$ sei. Da nun das Ikosaeder von 20 gleichseitigen Dreiecken umschlossen wird, denke man sich Verbindungslinien vom Mittelpunkt der Kugel zu den Dreieckswinkeln gezogen; es werden also 20 gleiche Pyramiden entstehen, die zu Basen die Dreiecksflächen des Isokaeders und zur Spitze den Mittelpunkt der Kugel haben. Nun denke man sich eine derselben, deren Basis das Dreieck $AB\Gamma$ und deren Spitze der Punkt Δ ist. Und man bestimme den Mittelpunkt des dem Dreieck $AB\Gamma$ umgeschriebenen Kreises, und ziehe die Verbindungslinie ΔE. Da nun die Seite des Ikosaeders zu der Höhe vom Mittelpunkt der Kugel auf eine der Dreiecksflächen des Ikosaeders $= 127 : 93$ ist und die Seite des Ikosa-

---

3 κορυφὴ: correxi 6 τὸ πρὸς τῶν EZ: sustuli errorem ex compendiorum similitudine ortum 17 supplevi 24 correxi 30 supplevi

ΔΕ κάθετος μονάδων ζ καὶ $\overset{ρκζ'}{μα}$. ἐπεὶ οὖν τοῦ ΑΒΓ τριγώνου ἑκάστη πλευρὰ δοθεῖσά ἐστιν καὶ ἡ ΔΕ δὲ κάθετος, δοθεῖσα ἄρα καὶ ἡ πυραμὶς, ἧς βάσις μέν ἐστι τὸ ΑΒΓ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. καὶ ἔστιν εἰκοστὸν μέρος τοῦ εἰκοσαέδρου· δοθὲν ἄρα ἐστὶ καὶ τὸ εἰκοσάεδρον. δεήσει ἄρα τὰ ι ἐπὶ τὰ ϙγ ποιῆσαι καὶ τῶν γενομένων λαβεῖν τὸ ρκζ' καὶ ἔχειν τὴν τῆς πυραμίδος κάθετον· καὶ λαβόντα τὸ ἐμβαδὸν τοῦ ΑΒΓ τριγώνου ἰσοπλεύρου καὶ εἰκοσάκι ποιήσαντα πολλαπλασιάσαι ἐπὶ τὴν εἰρημένην κάθετον· καὶ τῶν γενομένων τὸ τρίτον λαβόντα ἀποφαίνεσθαι τὸ τοῦ εἰκοσαέδρου στερεόν.



Fig. 59.

ιθ. Ἔστω δὴ δωδεκάεδρον μετρῆσαι, οὗ ἑκάστη πλευρά ἐστι μονάδων ι. πάλιν οὖν, ἐὰν ἀπὸ τοῦ κέντρου τῆς σφαίρας νοήσωμεν ἐπιζευγμένας εὐθείας ἐπὶ τὰς τοῦ πενταγώνου γωνίας, ἔσονται ιβ πυραμίδες fol. 98^{v} πενταγώ|νους βάσεις ἔχουσαι, κορυφὰς δὲ τὸ κέντρον τῆς σφαίρας· λόγον δὲ ἔχει ἡ τοῦ πενταγώνου πλευρὰ πρὸς τὴν ἀπὸ τοῦ κέντρου τῆς σφαίρας κάθετον ἀγομένην ἐπὶ ἓν τῶν πενταγώνων, ὃν τὰ η πρὸς τὰ θ· καὶ ἔστιν ἡ τοῦ πενταγώνου πλευρὰ μονάδων ι· ἡ ἄρα

---

1 ρκζ μα: correxi 28 ὧν: correxi

eders = 10 ist, so wird die Höhe $ΔE = 7 + \frac{41}{127}$. Da nun jede Seite des Dreiecks ΑΒΓ und auch die Höhe ΔΕ gegeben ist, so ist auch die Pyramide gegeben, deren Basis das Dreieck ΑΒΓ und deren Spitze der Punkt Δ ist, und sie ist der zwanzigste Teil des Ikosaeders. Also ist auch das Ikosaeder gegeben. Man wird also 10 × 93 ausrechnen und von dem Produkt $\frac{1}{127}$ nehmen müssen und damit die Höhe der Pyramide haben. Dann wird man den Inhalt des gleichseitigen Dreiecks ΑΒΓ bestimmen, zwanzigmal nehmen und mit der genannten Höhe multiplizieren müssen, und nachdem man von dem Produkt den dritten Teil genommen hat, den Körperinhalt des Ikosaeders angeben können.

XIX. Es sei nun ein Dodekaeder zu messen, von dem jede Seite = 10 ist. Wenn wir nun wieder vom Mittelpunkt der Kugel Verbindungslinien zu den Winkeln der Fünfecke gezogen denken, so werden 12 Pyramiden entstehen, die fünfeckige Basen haben und zur Spitze den Mittelpunkt der Kugel. Es verhält sich aber die Seite des Fünfecks zu der Höhe vom Mittelpunkt der Kugel auf eines der Fünfecke = 8 : 9. Nun ist die Seite des Fünfecks = 10. Die genannte Höhe wird also $= 11\frac{1}{4}$ sein. Wenn wir nun wiederum den Inhalt des Fünfecks bestimmen und mit der Kathete multiplizieren und dann von dem Produkt $\frac{1}{3}$ nehmen, so werden wir den Körperinhalt einer Pyramide haben. Nehmen wir diesen zwölfmal, so werden wir den Körperinhalt des Dodekaeders erhalten.


Fig. 60.

εἰρημένη κάθετος ἔσται μονάδων ια δ΄. πάλιν οὖν τὸ ἐμβαδὸν τοῦ πενταγώνου λαβόντες καὶ πολλαπλασιάσαντες ἐπὶ τὴν κάθετον καὶ τῶν γενομένων τὸ τρίτον λαβόντες ἕξομεν μιᾶς πυραμίδος τὸ στερεόν· ὃ δωδεκάκι ποιήσαντες ἕξομεν τὸ τοῦ δωδεκαέδρου στερεόν.

κ. Τῶν δὴ ἐν τάξει στερεῶν σωμάτων μετρηθέντων εὔλογον ὑπολαμβάνομεν καὶ τὰ ἄτακτα, οἷον ῥιζώδη ἢ πετρώδη, παριστορῆσαι τῇ μετρήσει, ὡς ἔνιοι ἱστοροῦσι τὸν Ἀρχιμήδη ἐπινενοηκέναι πρὸς τὰ τοιαῦτα μέθοδον. εἰ μὲν γὰρ εὐμετάφορον εἴη τὸ μέλλον μετρεῖσθαι, δεήσει δεξαμενὴ⟨ν⟩ πάντη ὀρθογωνίαν ποιήσαντα δυναμένην δέξασθαι, ὃ βουλόμεθα μετρηθῆναι, πληρῶσαι ὕδατος καὶ ἐμβαλεῖν τὸ ἄτακτον σῶμα. δῆλον δὴ οὖν, ὅτι ὑπερχυθήσεται τὸ ὕδωρ καὶ τοσοῦτόν γε, ὅσος ἐστὶν ὁ τοῦ ἐμβληθέντος σώματος εἰς τὸ ὕδωρ ὄγκος, ἐξαρθέντος τοῦ σώματος πάλιν ἐκ τῆς δεξαμενῆς ἐλλιπὲς ἔσται. μετρήσαντες οὖν τὸν ἐκκεκενωμένον τόπον fol. 99r ἀποφανούμεθα τοσούτου | εἶναι τὸ στερεὸν τοῦ ἐμβληθέντος σώματος. ἢ καὶ ἄλλως δυνατόν ἐστι τὸ αὐτὸ μετρῆσαι· ἐὰν γὰρ προσπλασθῇ τὸ ἄτακτον σῶμα κηρῷ ἢ πηλῷ, ὥστε γενέσθαι ἀποκρυβὲν πάντη ὀρθογώνιον, καὶ τοῦτο μετρήσαντες ἀφέλωμεν τὸν πηλὸν καὶ ὀρθογώνιον πλάσαντες ἐκμετρήσωμεν καὶ ἀφέλωμεν ἀπὸ τοῦ πρότερον μετρηθέντος τὸ καταλειπόμενον, ἀποφανούμεθα τὸ τοῦ σώματος στερεόν· τῇ δὲ τοῦ περιπλάσματος μεθόδῳ χρῆσθαι δεῖ ἐπὶ τῶν μὴ δυναμένων μετατίθεσθαι σωμάτων.

---

1 ιδ δ΄: correxi 11 δεξαμένη: correxi 15 οἷον: correxi σώματος ex ὕδατος fec. m. 1 17 ἐλλιπὴς: correxi 20 f. περιπλασθῇ 22 ἀφέλομεν: correxi 27 Ἥρωνος Ἀλεξανδρέως μέτρησις στερεῶν subscripsit m. 1

XX. Nachdem die bestimmten Körper gemessen sind. halten wir für angemessen auch die unbestimmten, wie z. B. Wurzeln oder Felsstücke, in der Vermessungskunde beiläufig zu erwähnen, da einige berichten, daſs Archimedes für derartige eine Methode ausgedacht habe. Wenn nämlich der zu messende Körper leicht transportabel sein sollte, so wird man eine durchgängig rechtwinklige Wanne, die das, was wir gemessen zu haben wünschen, aufzunehmen vermag, herrichten und mit Wasser füllen und den unbestimmten Körper hineinwerfen müssen. Es ist nun klar, daſs das Wasser überflieſsen wird und zwar wird soviel davon, als das Volumen des in das Wasser geworfenen Körpers beträgt, fehlen, wenn der Körper wieder aus der Wanne herausgenommen wird. Messen wir nun den leer gewordenen Raum, so werden wir den Körperinhalt des hineingeworfenen Körpers so groſs anzugeben haben. Oder man kann dieselbe Messung auch auf andere Weise vornehmen. Denn wenn der unbestimmte Körper mit Wachs oder Lehm bestrichen wird, sodaſs er, wenn er eingehüllt ist, durchgängig rechtwinklig ist und wir ihn in dieser Gestalt messen, dann den Lehm abnehmen, in rechtwinklige Form kneten und ausmessen, und dann von dem zuerst gemessenen den Rest abziehen, so werden wir den Inhalt des Körpers angeben können. Diese Einhüllungsmethode muſs man bei den nicht transportabeln Körpern anwenden.

ΗΡΩΝΟΣ ΜΕΤΡΙΚΩΝ Γ

ΠΡΟΟΙΜΙΟΝ

fol. 99^{v} | Οὐ πολὺ ἀπᾴδειν νομίζομεν τὰς τῶν χωρίων διαιρέσεις τῶν γιγνομένων ἐν τοῖς χωρίοις μετρήσεων· καὶ γὰρ τὸ ἀπονεῖμαι χωρίον τοῖς ἴσοις ἴσον καὶ τὸ πλέον τοῖς ἀξίοις κατὰ τὴν ἀναλογίαν πάνυ εὔχρηστον καὶ ἀναγκαῖον θεωρεῖται. ἤδη γοῦν καὶ ἡ σύμπασα γῆ διῄρηται κατ' ἀξίαν ὑπ' αὐτῆς τῆς φύσεως· νέμεται γὰρ κατ' αὐτὴν ἔθνη μέγιστα μεγάλην λελογχότα χώραν, ἔνια δὲ καὶ ὀλίγην μικρὰ καθ' αὑτὰ ὑπάρχοντα· οὐχ ἧττον δὲ καὶ κατὰ μίαν αἱ πόλεις κατ' ἀξίαν διῄρηνται· τοῖς μὲν ἡγεμόσι καὶ τοῖς ἄλλοις τοῖς ἄρχειν δυναμένοις μείζω καὶ κατὰ ἀναλογίαν, τοῖς δὲ μηδὲν τοιοῦτο δυναμένοις δρᾶν μικροὶ κατελείφθησαν τόποι, κῶμαί τε τοῖς μικροψυχοτέροις καὶ ἐποίκια καὶ ὅσα τοιαῦτά ἐστιν· ἀλλὰ τὰ μὲν παχυμερεστέραν πως καὶ ἀργοτέραν εἴληφε τὴν ἀναλογίαν· εἰ δέ τις βούλοιτο κατὰ τὸν δοθέντα λόγον διαιρεῖν τὰ χωρία, ὥστε μηδὲ ὡς εἰπεῖν κέγχρον μίαν τῆς ἀναλογίας ὑπερβάλλειν ἢ ἐλλείπειν τοῦ δοθέντος λόγου, μόνης προσδεήσεται γεωμετρίας· ἐν ᾗ ἐφαρμογὴ μὲν ἴση, τῇ δὲ ἀναλογίᾳ δικαιοσύνη, ἡ δὲ περὶ

---

1 titulum supplevi 5 χωρίων: correxi 12 f. μὲν ⟨γὰρ⟩
13 καὶ f. delendum 17 παχυμερέστερον: correxi

VERMESSUNGSLEHRE VON HERON VON ALEXANDRIA.

DRITTES BUCH.

TEILUNG VON FLÄCHEN UND KÖRPERN.

Die Teilungen von Raumgebilden unterscheiden sich nach unserem Dafürhalten nicht erheblich von den Messungen, die an den Raumgebilden vorgenommen werden. Vorrede Denn das Geschäft, den Gleichberechtigten die gleiche Fläche Landes zuzuweisen und denen, die es wert sind, im Verhältnis mehr, wird als ein sehr nützliches und notwendiges angesehen. Ist doch auch die gesamte Erde schon von der Natur selbst nach Verdienst eingeteilt worden. Denn es wohnen auf ihr sehr groſse Völker, denen ein groſses Stück Land zugefallen ist; manchen dagegen nur ein kleines, weil sie an sich nur klein sind. Ebenso sind auch die einzelnen Staatsgebiete nach Verdienst geteilt: den leitenden Männern und den übrigen, die zu regieren vermögen, wurden gröſsere Stücke und zwar nach Verhältnis zu Teil; denen dagegen, die nichts der Art zu leisten vermochten, wurden nur kleine Plätze übrig gelassen und den Schwächeren Dörfer und einzelne Gehöfte und was es sonst von dieser Art giebt. Aber dies ist gewissermaſsen nur im Groben und mühelos in ein Verhältnis gebracht. Wenn dagegen jemand Raumgebilde nach einem gegebenen Verhältnis so teilen möchte, daſs sozusagen auch nicht eine Kleinigkeit des Verhältnisses überschieſst über das gegebene Verhältnis oder dahinter zurückbleibt, so wird er dazu der Geometrie bedürfen, in der gleichmäſsige Anwendbarkeit vorhanden ist τούτων ἀπόδειξις ἀναμφισβήτητος, ὅπερ τῶν ἄλλων τεχνῶν ἢ ἐπιστημῶν οὐδεμία ὑπισχνεῖται.

α. Χωρίον τρίγωνον διελεῖν εἰς τρίγωνα χωρία ἐν τῷ δοθέντι λόγῳ τὴν αὐτὴν ἔχοντα κορυφήν. ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ ἔχον τὴν μὲν ΑΒ μονάδων ιγ, τὴν δὲ ΒΓ μονάδων ιδ, τὴν δὲ ΑΓ μονάδων ιε· καὶ δέον ἔστω διελεῖν αὐτὸ εἰς δύο χωρία τρίγωνα λόγον ἔχοντα πρὸς ἄλληλα, ὃν ε πρὸς γ, κορυφὴν δὲ τὸ Α. γεγονέτω καὶ ἔστω ἡ διαιροῦσα εὐθεῖα ἡ ΑΔ· λόγος ἄρα τοῦ ΑΒΔ τριγώνου πρὸς τὸ ΑΔΓ τρίγωνον, ⟨ὃν⟩ ε πρὸς γ· καὶ συνθέντι λόγος ἄρα τοῦ ΑΒΓ τριγώνου πρὸς τὸ ΑΔΓ τρίγωνον, ὃν η πρὸς γ. καὶ ἔστιν fol. 100ʳ | ἡ ΒΓ μονάδων ιδ· ἡ ἄρα ΓΔ ἔσται μονάδων ε δ΄. λοιπὴ ἄρα ἡ ΒΔ μονάδων η∟δ΄. κἂν ἐπιζεύξωμεν τὴν ΑΔ, ἔσται γεγονὸς τὸ προκείμενον· τὸ μὲν γὰρ τοῦ ΑΒΔ τριγώνου ἐμβαδὸν εὑρήσομεν μονάδων νβ∟, τὸ δὲ τοῦ ΑΔΓ τριγώνου μονάδων λα∟. ἔχει δὲ τὰ νβ∟ πρὸς τὰ λα∟ λόγον, ὃν ἔχει τὰ ε πρὸς τὰ γ.



Fig. 61.

β. Τὸ δοθὲν τρίγωνον εἰς τὸν δοθέντα λόγον διελεῖν εὐθείᾳ τινὶ παραλλήλῳ τῇ βάσει. ἔστω τρίγωνον τὸ ΑΒΓ ἔχον τὴν μὲν ΑΒ μονάδων ιγ, τὴν δὲ ΒΓ μονάδων ιδ, τὴν δὲ ΑΓ μονάδων ιε. καὶ

---

und durch die Durchführung eines Verhältnisses Gerechtigkeit geschaffen wird, der Beweis aber über diese Dinge unbestreitbar ist, was von den übrigen Künsten oder Fertigkeiten keine in Aussicht stellen kann.

I. Eine dreieckige Fläche in gegebenem Verhältnis in dreieckige Flächen zu zerlegen, welche dieselbe Spitze haben. Es sei $AB\Gamma$ das gegebene Dreieck und $AB = 13$, $B\Gamma = 14$, $A\Gamma = 15$. Die Aufgabe sei, es in zwei dreieckige Flächen zu zerlegen, die sich zu einander wie 5 : 3 verhalten und die Spitze A haben. Es sei geschehen und die teilende Gerade sei $A\Delta$. Also ist Dreieck $\Lambda B\Delta$: Dreieck $A\Delta\Gamma = 5:3$. Also Dreieck $AB\Gamma$: Dreieck $A\Delta\Gamma = 8:3$. Nun ist $B\Gamma = 14$; also wird $\Gamma\Delta = 5\frac{1}{4}$ sein; also $B\Delta = 8\frac{1}{2} + \frac{1}{4}$, und wenn wir die Verbindungsline $A\Delta$ ziehen, so wird die Aufgabe gelöst. Denn als Inhalt des Dreiecks $AB\Delta$ werden wir $52\frac{1}{2}$, als Inhalt des Dreiecks $A\Delta\Gamma$ aber $31\frac{1}{2}$ erhalten. Es ist aber $52\frac{1}{2} : 31\frac{1}{2} = 5 : 3$.

II. Ein gegebenes Dreieck in einem gegebenen Verhältnis durch eine der Basis parallele Gerade zu teilen. Das Dreieck sei $AB\Gamma$, in dem

$AB = 13$,
$B\Gamma = 14$,
$A\Gamma = 15$,

und die Aufgabe sei, es so zu teilen, daſs das Dreieck an der Spitze 3 mal so groſs ist als das übrigbleibende Trapez. Die teilende Gerade sei ΔE. Also ist Dreieck $A\Delta E$ dreimal so groſs als das Trapez $\Delta E\Gamma B$. Also



Fig. 62a.

---

7 δέον ἐστι: corr. m. 2   8 ὁ μὲν ε: corr. m. 2   15 ⟨ὃν⟩ inserui

δέον ἔστω αὐτὸ διελεῖν, ὥστε τὸ πρὸς τῇ κορυφῇ τρίγωνον τριπλάσιον εἶναι τοῦ λοιποῦ τραπεζίου. ἔστω ἡ διαιροῦσα εὐθεῖα ἡ ΔΕ· τριπλάσιον ἄρα ἐστὶ τὸ ΑΔΕ τρίγωνον τοῦ ΔΕΓΒ τραπεζίου· τὸ ἄρα ΑΒΓ τρίγωνον [ὂν] πρὸς τὸ ΑΔΕ τρίγωνον λόγον ἔχει, ὃν δ πρὸς γ. ὡς δὲ τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον, οὕτως τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον [ὂν] πρὸς τὸ ἀπὸ τῆς ΔΑ διὰ τὸ ὅμοια εἶναι τὰ τρίγωνα. καὶ ἔστι τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον μονάδων ρξ⟨θ· τὸ ἄρα ἀπὸ τῆς ΑΔ τετράγωνον μονάδων ρκ⟩ϛ∟δ′· αὐτὴ ἄρα ἡ ΑΔ ἔσται ὡς ἔγγιστα μονάδων ια δ′. ὥστε ἐὰν ἀπολάβωμεν τὴν ΑΔ μονάδων ια δ′ καὶ παράλληλον ἀγάγωμεν τὴν ΔΕ, ἔσται τὸ προκείμενον. ἵνα δὲ μὴ παράλληλον ἄγωμεν, ἐπειδήπερ ἐν τοῖς χωρίοις δύσεργον ὑπάρχει τὸ τοιοῦτον διὰ τὴν τῶν τόπων ἀνωμαλίαν, ἀποληψόμεθα καὶ τὴν ΑΕ μονάδων ὅσων ἂν ᾖ. ἔστιν δὲ, ἐὰν ποιήσωμεν ὡς τὴν ΑΒ πρὸς ΑΓ, τουτέστιν ὡς τὰ ιγ πρὸς ιε, οὕτως τὴν ΑΔ, τουτέστιν ια δ′, πρὸς ἄλλην τινά· τουτέστι τὴν ΑΕ. ἔσται μονάδων ιβ ⟨$\overset{\nu\beta'}{\nu\alpha}$⟩. fol. 100^{v} | τοσούτου ἔσται ἡ ΑΕ. ἐπιζεύξαντες οὖν τὴν ΔΕ ἕξομεν τὴν διαιροῦσαν τὸ χωρίον. ἡ δὲ μέθοδος ἔσται τοιαύτη· ἐπεὶ ὁ λόγος, ἐν ᾧ διαιρεῖται, ἔστι γ πρὸς α, σύνθες γ καὶ α· γίγνεται δ. καὶ τὰ ιγ ἐφ' ἑαυτά· γίγνεται ρξθ. ταῦτα ἐπὶ τὸν γ· γίγνεται φζ. παράβαλε παρὰ τὸν δ· γίγνεται ρκϛ∟δ′. τούτων πλευρὰ γίγνεται ὡς ἔγγιστα ια δ′. ταῦτα ἐπὶ τὸν ιε· γίγνεται ρξη∟δ′. ταῦτα παράβαλε παρὰ τὸν ιγ· γίγνεται ιβ καὶ $\overset{\nu\beta'}{\nu\alpha}$. τοσούτου ἀπόλαβε τὴν ΑΕ καὶ ἐπίζευξον τὴν ΔΕ.

Dreieck $AB\Gamma$: Dreieck $A\Delta E = 4:3$. Nun ist aber Dreieck $AB\Gamma$: Dreieck $A\Delta E = BA^2 : \Delta A^2$, weil die Dreiecke ähnlich sind. Und BA^2 ist $= 169$, also $A\Delta^2 = 126\frac{1}{2} + \frac{1}{4}$. Also wird $A\Delta$ selbst annähernd $= 11\frac{1}{4}$ sein. Wenn wir daher $A\Delta = 11\frac{1}{4}$ abtragen und die Parallele ΔE ziehen, so wird die Aufgabe gelöst sein. Um aber keine Parallele ziehen zu müssen, da dies im Terrain wegen der Ungleichmäſsigkeit des Bodens schwierig ist, so werden wir auch AE so groſs, als es ist, abtragen. Es ergiebt sich aber, wenn wir folgende Berechnung machen: $AB : A\Gamma = 13:15 = A\Delta : x = 11\frac{1}{4} : AE$. $AE = 12\frac{51}{52}$. So groſs wird AE sein. Ziehen wir nun die Verbindungslinie ΔE, so werden wir die Teilungslinie haben. Die Methode ist folgende: da das Verhältnis, in dem geteilt wird, $3:1$ ist, so nimm $3 + 1 = 4$



Fig. 62 b.

$$\begin{aligned}
13^2 &= 169\\
169 \times 3 &= 507\\
\tfrac{507}{4} &= 126\tfrac{1}{2} + \tfrac{1}{4}\\
\sqrt{126\tfrac{1}{2} + \tfrac{1}{4}} \text{ annähernd} &= 11\tfrac{1}{4}\\
11\tfrac{1}{4} \times 15 &= 168\tfrac{1}{2} + \tfrac{1}{4}\\
\frac{168\frac{1}{2} + \frac{1}{4}}{13} &= 12\tfrac{51}{52}.
\end{aligned}$$

So groſs trage AE ab und ziehe die Verbindungslinie ΔE.

---

1 εἷς τε τὸ: corr. m. 2   5 [ὂν] delevi   8 [ὂν] delevi   10 ρξϛ∟δ′: lacunam explevi; ϑ supra scr. m. 2   13 αι δ′: correxi   18 πρὸς ΑΓ: ΒΓ suprascr. m. 2 perperam   19 ιε: ιδ suprascr. m. 2 perperam   20 ΔΕ: correxi   ιβ νβ′: correxi   27 ἐπὶ τῶν: correxi   29 $\overset{\delta\iota\beta}{\nu\alpha}$: correxi   29—30 ἐπίζευξον τὴν ΑΕ: correxi

γ. Ἔστω δὴ τὸ δοϑὲν τρίγωνον τὸ ΑΒΓ ἔχον τὴν μὲν ΑΒ μονάδων ιγ, τὴν δὲ ΒΓ μονάδων ιδ, τὴν δὲ ΓΑ μονάδων ιε. καὶ ἀπειλήφϑω ἡ ΑΔ, εἰ τύχοι, μονάδων ιβ. καὶ δέον ἔστω ἀπὸ τοῦ Δ διαγαγεῖν τὴν ΔΕ διαιροῦσαν τὸ ΑΒΓ τρίγωνον ἐν λόγῳ τῷ δοϑέντι. ἔστω δὴ ὁ λόγος, ὃν ἔχει τὰ ε πρὸς τὰ β. ἤχϑωσαν ἀπὸ τῶν Β, Δ ἐπὶ τὴν ΑΓ κάϑετον αἱ ΒΖ ΔΗ. ἔσται δὴ ἡ ΒΖ κάϑετος, ὡς ἐμάϑομεν, μονάδων ια ε΄. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΑ πρὸς ΑΔ, τουτέστιν ὡς ιγ πρὸς ιβ, οὕτως ἡ ΒΖ πρὸς ΔΗ, καὶ ἔστιν ἡ ΒΖ ια ε΄, ἡ ἄρα ΔΗ ἔσται μονάδων ι καὶ $\overset{\xi\varepsilon'}{\kappa\beta}$. καὶ ἐπεὶ τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΔΕ λόγον ἔχει, ὃν ε πρὸς γ, καὶ ἔστι τὸ ΑΒΓ τρίγωνον μονάδων πδ, τὸ ἄρα ΑΔΕ τρίγωνον ἔσται μονάδων ν καὶ $\overset{\varepsilon'}{\beta}$. τοῦ δὲ ΑΔΕ τριγώνου διπλάσιόν ἐστι τὸ ὑπὸ τῶν ΑΕ ΔΗ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ ΔΗ ἔσται μονάδων ρ καὶ $\overset{\varepsilon'}{\delta}$. καὶ ἔστιν ἡ ΔΗ μονάδων ι καὶ $\overset{\xi\varepsilon'}{\kappa\beta}$· ἡ ἄρα ΑΕ ἔσται μονάδων ϑ∟δ΄. κἂν ἐπιζεύξωμεν τὴν ΔΕ, ἔσται τὸ προκείμενον. ἔστι δὲ ἡ μέϑοδος τοιαύτη· ἐπεὶ ἡ ΒΖ κάϑετός ἐστιν, ια ε΄ ἐπὶ τὰ ιβ· fol. 101ʳ | καὶ τὰ γενόμενα μέρισον εἰς τὸν ι⟨γ· γίνο⟩νται μονάδες ι καὶ $\overset{\xi\varepsilon'}{\kappa\beta}$. καὶ ἐπεὶ λόγος, ἐν ᾧ διαιρεῖται, ὁ τῶν γ ⟨πρὸς⟩ τὰ β, σύνϑες γ καὶ β· γίγνεται ε· καὶ πολλαπλασίασον τὸν γ ἐπὶ τὸ ἐμβαδὸν τοῦ τριγώνου, τουτέστιν ἐπὶ τὰ πδ· γίγνεται σνβ. ταῦτα μέρισον εἰς τὸν ε· γίγνεται νβ ε΄. ταῦτα δίς· γίγνεται ρ καὶ $\overset{\varepsilon'}{\delta}$. μέρισον ταῦτα παρὰ τὸν ι καὶ $\overset{\xi\varepsilon'}{\kappa\beta}$· γίγνονται μονάδες

III. Das gegebene Dreieck sei $AB\Gamma$, in dem $AB = 13$, $B\Gamma = 14$, $\Gamma A = 15$ seien. Es werde $A\Delta$ beispielsweise $= 12$ abgetragen und die Aufgabe sei, von Δ die Gerade ΔE zu konstruieren, die das Dreieck $AB\Gamma$ in einem gegebenen Verhältnis teilt. Das Verhältnis sei $3:2$. Man ziehe von den Punkten B und Δ auf $A\Gamma$ die Senkrechten BZ und ΔH. Es wird nun die Höhe BZ, wie wir lernten, $= 11\frac{1}{5}$ sein. Und da $BA : A\Delta = 13:12 = BZ:\Delta H$ ist und $BZ = 11\frac{1}{5}$ ist, so wird $\Delta H = 10\frac{22}{65}$ sein. Und da Dreieck $AB\Gamma$: Dreieck $A\Delta E = 5:3$ und Dreieck $AB\Gamma = 84$ ist, so wird Dreieck $A\Delta E = 50\frac{2}{5}$ sein. Es ist aber $2 \times$ Dreieck $A\Delta E = AE \times \Delta H$; also $AE \times \Delta H = 100\frac{4}{5}$. Nun ist $\Delta H = 10\frac{22}{65}$; also wird $AE = 9\frac{1}{2} + \frac{1}{4}$ sein. Und wenn wir die Verbindungslinie ΔE ziehen, so wird die Aufgabe gelöst sein. Die Methode ist folgende:



Fig. 63.

$$\frac{11\frac{1}{5} \times 12}{13} = 10\frac{22}{.65}.$$

Und, da das Verhältnis, in dem geteilt wird, 3 : 2 ist:

$$3 + 2 = 5$$
$$3 \times 84 = 252$$
$$\frac{252}{5} = 50\frac{2}{5}$$
$$2 \times 50\frac{2}{5} = 100\frac{4}{5}$$
$$100\frac{4}{5} : 10\frac{22}{56} = 9\frac{1}{2} + \frac{1}{4}.$$

---

21 post ι 5 litterae evanidae: supplevi 23 post γ 4 litterae evanidae: supplevi

ϑ∟δ′. τοσούτου ἀπολαβὼν τὴν ΑΕ ἐπίζευξον τὴν ΔΕ· καὶ ἔσται τὸ προκείμενον.

δ. Τριγώνου δοϑέντος τοῦ ΑΒΓ ἀφελεῖν ἀπ' αὐτοῦ τρίγωνον τὸ ΔΕΖ δοϑὲν τῷ μεγέϑει, ὥστε τὰ καταλειπόμενα τρίγωνα τὰ ΑΔΕ ΒΔΖ ΓΕΖ ἴσα εἶναι ἀλλήλοις. ἐὰν δὴ τμηϑῶσιν ⟨αἱ ΑΒ, ΒΓ, ΓΑ τοῖς Δ, Ζ, Ε⟩, ὥστε εἶναι ὡς τὴν ΑΔ πρὸς τὴν ΔΒ, οὕτως τὴν ΒΖ πρὸς ΖΓ καὶ τὴν ΓΕ πρὸς ΕΑ, ἔσται τὰ ΑΔΕ ΒΔΖ ΖΓΕ τρίγωνα ἴσα ἀλλήλοις. ἐπεζεύχϑω οὖν ἡ ΑΖ· καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΖ πρὸς ΖΓ, ἡ ΓΕ πρὸς τὴν ΕΑ, καὶ συνϑέντι ἄρα ὡς ἡ ΒΓ πρὸς ΓΖ, ἡ ΓΑ πρὸς ΑΕ· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΖΓ, οὕτως τὸ ΑΖΓ πρὸς τὸ ΑΖΕ· καὶ ἀναστρέψαντι ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΒΖ, οὕτω τὸ ΑΖΓ πρὸς τὸ ΕΓΖ, ὅ ἐστι δοϑέν. δοϑὲν δὲ καὶ τὸ ΑΒΓ· δοϑὲν ἄρα τὸ ἐμβαδὸν τοῦ ΑΒΓ ἐπὶ τὸ ἐμβαδὸν τοῦ ΖΕΓ, ὅ ἐστι δοϑέν. καὶ ἴσον ἐστὶ τῷ ἐμβαδῷ τοῦ ΑΒΖ τριγώνου ἐπὶ τὸ ἐμβαδὸν τοῦ ΑΖΓ· δοϑὲν ἄρα καὶ τὸ ἐμβαδὸν τοῦ ΑΒΖ ἐπὶ τὸ ἐμβαδὸν τοῦ ΑΖΓ· ἀλλὰ τοῦ μὲν ἐμβαδοῦ τοῦ ΑΒΖ καϑέτου ἀχϑείσης τῆς ΑΗ διπλάσιόν ἐστι τὸ ὑπὸ ΕΒ ΑΗ, τοῦ δὲ ἐμβαδοῦ τοῦ ΑΖΓ
fol. 101ᵛ δι|πλάσιόν ἐστι τὸ ὑπὸ ΖΓ ΑΗ· δοϑὲν ἄρα τὸ ὑπὸ ΖΒ ΑΗ ἐπὶ τὸ ὑπὸ ΑΗ ΖΓ, τουτέστι τὸ ἀπὸ ΑΗ ἐπὶ τὸ ὑπὸ ΒΖΓ· καὶ ἔστι δοϑεῖσα ἡ [Χ]ΒΓ· δοϑὲν ἄρα τὸ Ζ· λόγος ἄρα τῆς ΒΓ πρὸς τὴν ΓΖ ⟨δοϑείς⟩· ὥστε καὶ τῆς ΓΑ πρὸς ΑΕ. καὶ ἔστι δοϑεῖσα ἡ ΓΑ· δοϑὲν ἄρα καὶ τὸ Ε. κατὰ τὰ αὐτὰ δὴ καὶ τὸ Δ δοϑέν ἐστι· ϑέσει ἄρα αἱ ΔΕ ΕΖ ΖΔ. συντεϑήσεται δὴ ἀκολούϑως τῇ ἀναλύσει οὕτως· ἔστω γὰρ ἡ μὲν ΑΒ μονάδων ιγ, ἡ δὲ ΒΓ μονάδων ιδ, ἡ δὲ

So groſs trage AE ab und ziehe die Verbindungslinie ΔE, und die Aufgabe wird gelöst sein.

IV. Wenn das Dreieck $AB\Gamma$ gegeben ist, von ihm Dreieck ΔEZ, das seiner Gröſse nach gegeben ist, so abzuteilen, daſs die übrigbleibenden Dreiecke $A\Delta E$, $B\Delta Z$, ΓZE einander gleich sind. Werden nun die Seiten AB, $B\Gamma$, ΓA durch Δ, E, Z geteilt, so daſs $A\Delta : \Delta B = BZ : Z\Gamma = \Gamma E : EA$ ist, so werden die Dreiecke $A\Delta E$, $B\Delta Z$ und $Z\Gamma E$ einander gleich sein. Man ziehe die Verbindungslinie AZ. Da nun $BZ : Z\Gamma = \Gamma E : EA$ ist, so ist auch $B\Gamma : \Gamma Z = \Gamma A : AE$ und Dreieck $AB\Gamma : AZ\Gamma = AZ\Gamma : AZE$ und Dreieck $AB\Gamma : ABZ = AZ\Gamma : E\Gamma Z$, welches letztere gegeben ist. Aber auch $AB\Gamma$ ist gegeben. Also ist auch $AB\Gamma \times ZE\Gamma$ gegeben, und dies ist gleich $ABZ \times AZ\Gamma$. Also ist auch $ABZ \times AZ\Gamma$ gegeben. Es ist aber, da AH als Höhe gezeichnet ist, $ABZ = \frac{1}{2} ZB \times AH$ und $AZ\Gamma = \frac{1}{2} Z\Gamma \times AH$. Also ist auch $ZB \times AH \times AH \times Z\Gamma$ d. h. $AH^2 \times ZB \times Z\Gamma$ gegeben. Nun ist $B\Gamma$ gegeben, also ist Z gegeben. Mithin $B\Gamma : \Gamma Z = \Gamma A : AE$. Nun ist ΓA gegeben, also ist auch E gegeben. Demgemäſs ist auch Δ seiner Lage nach gegeben. Mithin sind ΔE, EZ und $Z\Delta$ gegeben. Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen. Es sei $AB = 13$, $B\Gamma = 14$,



Fig. 64.

---

4 δοϑέντων: ν del. m. 2 6—7 τμηϑῶσιν Α ὥστε: lacunam explevi 25 ΒΖΓ: alterum Ζ suprascr. m. 2 ἡ ⋇ ΒΓ (sic) 26 supplevi 29 post ϑέσει suprascr. m. 2 δέδονται 31 ια: correxit Nath

ΓΑ μονάδων ιε. ἔστω δὲ καὶ τὸ ΔΕΖ τρίγωνον μονάδων πδ. λοιπὰ ἄρα τὰ ΑΔΕ ΔΒΖ ΕΖΓ τρίγωνα ἔσται ἀνὰ μονάδων κ. πολλαπλασίασον τὰ πδ ἐπὶ τὰ κ· γίνεται ͵αχπ· ταῦτα τετράκι· γίγνεται ͵ϛψκ. καὶ ἐπεὶ ἡ ΑΗ κάθετός ἐστι μονάδων ιβ· ἐφ' ἑαυτὰ γίγνεται ρμδ· μέρισον τὰ ͵ϛψκ παρὰ τὸν ρμδ· γίγνεται μϛ· καὶ ἔστιν ἡ ΒΓ μονάδων ιδ· ἔσται ἄρα καὶ ἡ μὲν ΒΖ ὡς ἔγγιστα μονάδων η καὶ ἡ ΖΓ μονάδων ε∟. καὶ ποίησον ὡς τὰ ιδ πρὸς [τὸ] τὰ ε∟, οὕτω τὰ ιε πρὸς ἄλλον τινά· γίγνεται μονάδων ε $\overset{\kappa\eta'}{\kappa\varepsilon}$. πάλιν ὡς τὰ ιδ πρὸς τὰ ε∟, οὕτω τὰ ιγ πρὸς ἄλλον τινά· γίγνεται πρὸς μονάδας ε καὶ $\overset{\kappa\eta'}{\gamma}$. γίγνεται ἡ ΒΔ μονάδων ε καὶ $\overset{\kappa\eta'}{\gamma}$.

ε. Τετραπλεύρου δοθέντος τοῦ ΑΒΓΔ καὶ παραλλήλου οὔσης τῆς ΑΔ τῇ ΒΓ διελεῖν τὸ ΑΒΓΔ τετράπλευρον τῇ ΕΖ εὐθείᾳ, ὥστε λόγον τοῦ ΑΒΕΖ πρὸς τὸ ΕΖΓΔ ⟨δοθέντι ἴσον εἶναι⟩ δοθεισῶν τῶν ΕΖ ΓΔ καὶ εἰς τὸ αὐτὸ νευουσῶν σημεῖον τὸ Η· διὰ δὴ τοῦτο ἔσται ὡς τὸ ΑΒΕΖ πρὸς τὸ ΕΖΓΔ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΖΓ. ὥστε λόγος καὶ τῆς ΒΖ πρὸς ΖΓ δοθείς· καὶ ἔστι δοθεῖσα ἡ ΒΓ· δοθὲν ἄρα fol. 102r τὸ Ζ· κατὰ τὰ αὐτὰ | δὴ καὶ τὸ Ε· θέσει ἄρα ἡ ΕΖ. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως· ἔστω δοθεὶς λόγος, ὃν ἔχει τὰ β πρὸς τὰ γ· καὶ ἔστω ἡ μὲν ΒΓ μονάδων κε, ἡ δὲ ΑΓ μονάδων κ, αἱ δὲ ΑΒ ΓΔ οἱαιδηποτοῦν. σύνθες τὰ β καὶ τὰ γ· γίγνε-

---

2 $\overset{o}{\mu}$ κδ: correxi 3 possis etiam μονάδας 9 [τὸ] del. m. 2 16 post λόγον add. εἶναι et post ΕΖΓΔ add. δοθέντα m. 2; f. ⟨θέσει⟩ δοθεισῶν 17 post τῶν unam litteram del. m. 2 (?) 22 τὸ ΕΖ: corr. m. 2 24 ὁ λόγος: sed ὁ del. m. 1

$\Gamma A = 15$ und Dreieck $\Delta E Z$ sei $= 24$. Die übrigbleibenden Dreiecke $A\Delta E$, $\Delta B Z$, $E Z \Gamma$ werden also jedes $= 20$ sein.

$$84 \times 20 = 1680$$

$$1680 \times 4 = 6720.$$

Die Höhe AH ist $= 12$.

$$12^2 = 144$$

$$\frac{6720}{144} = 46.$$

Nun ist $B\Gamma = 14$. Es wird also BZ annähernd $= 8$ und $Z\Gamma$ annähernd $= 5\frac{1}{2}$ sein. Nun stelle man folgende Gleichung auf: $14 : 5\frac{1}{2} = 15 : x = 15 : 5\frac{25}{28}$, ferner

$$14 : 5\frac{1}{2} = 13 : x$$

$$x = 5\frac{3}{28}$$

$$B\Delta = 5\frac{3}{28}.$$

V. Wenn ein Viereck $AB\Gamma\Delta$ gegeben ist und $A\Delta$ parallel $B\Gamma$ ist, das Viereck $AB\Gamma\Delta$ durch die Gerade EZ so zu teilen, daſs das Verhältnis von $ABEZ : EZ\Gamma\Delta$ das der gegebenen Geraden EZ und $\Gamma\Delta$ ist, die nach dem Punkt H zusammenlaufen. Es wird daher $ABEZ : EZ\Gamma\Delta = BZ : Z\Gamma$ sein, daher auch $BZ : Z\Gamma$ gegeben sein. Nun ist $B\Gamma$ gegeben. Also ist Z gegeben; aus denselben Gründen auch E; also ist EZ gegeben. Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen. Das gegebene Verhältnis sei $2 : 3$, und es sei $B\Gamma = 25$, $A\Delta = 20$, AB und $\Gamma\Delta$ aber beliebig groſs.



Fig. 65.

ται ε· καὶ τὰ κε ἐπὶ τὸν β· γίγνεται ν· ταῦτα παράβαλε παρὰ τὸν ε· γίγνεται ι· τοσούτων ἀπειλήφθω μονάδων ἡ ΒΖ. πάλιν τὰ κ ἐπὶ τὰ β· γίγνεται μ· ταῦτα παράβαλε παρὰ τὸν ε· γίγνεται η. τοσούτων ἀπόλαβε τὴν ΑΕ. καὶ ἐὰν ἐπιζευχθῇ ἡ ΕΖ, ποιήσει τὸ προκείμενον.

ς. Τῶν αὐτῶν ὑποκειμένων ἀπειλήφθω ἡ ΑΗ μονάδων ε καὶ ἐπιτετάχθω ἀπὸ τοῦ Η διαγαγεῖν τὴν ΗΘ διαιροῦσαν τὸ τετράπλευρον ἐν λόγῳ τῷ δοθέντι. διήχθω οὖν, ὡς ἐμάθομεν, ἡ ΕΖ διαιροῦσα τὸ χωρίον ἐν τῷ αὐτῷ λόγῳ καὶ ἐπεξεύχθωσαν αἱ ΗΖ ΕΘ· ἴσον ἄρα ἐστὶ τὸ ΑΒ ⟨ΕΖ⟩ τῷ ΑΒΘΗ· ὥστε καὶ λοιπὸν τὸ ΕΖΗ τρίγωνον τῷ ΗΘΖ τριγώνῳ ἴσον ἐστίν· παράλληλος ἄρα ἐστὶν ἡ ΗΖ τῇ ΕΘ· ἀλλὰ καὶ ἡ ΗΕ τῇ ΖΘ· ἴση ἄρα ἐστὶν ἡ ΗΕ τῇ ΖΘ· δοθεῖσα δὲ ἡ ΗΕ· δοθεῖσα ἄρα καὶ ἡ ΖΘ· καὶ ἔστι δοθὲν τὸ Ζ· δοθὲν ἄρα καὶ τὸ Θ· θέσει ἄρα ἡ ΗΘ. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως· ἀπειλήφθω ἡ ΒΖ μονάδων ι· τοσούτου γὰρ ἀπεδείχθη· καὶ ἐπεὶ ἡ ΑΕ ἐστὶ μονάδων η, ἡ δὲ ΑΗ μονάδων ε, λοιπὴ ἄρα ἡ ΗΕ μονάδων γ. καὶ ἔστιν ἴση τῇ ΖΘ· ἀπειλήφθω οὖν ἡ ΖΘ μονάδων γ. ὥστε ὅλη ἡ ΒΘ ἔσται μονάδων ιγ· ἐπιζευχθείσης οὖν τῆς ΗΘ ἔσται τὸ προκείμενον.

fol. 102ᵛ ζ. | Πάλιν δὲ τετραπλεύρου δοθέντος τοῦ ΑΒΓΔ καὶ παραλλήλου οὔσης τῆς ΑΒ τῇ ΓΔ ἀγαγεῖν αὐταῖς παράλληλον τὴν ΕΖ διαιροῦσαν τὸ τετράπλευρον ἐν λόγῳ τῷ δοθέντι. γεγονέτω καὶ ἐκβεβλήσθωσαν αἱ

---

3 ἡ ΒΓ: correxit m. 2   12 ΑΒ τῷ: supplevi   24 ἑξῆς ἡ καταγραφή in mg. inf. m. 1   26 ΑΕ: corr. m. 2

$$2 + 3 = 5$$
$$25 \times 2 = 50$$
$$\tfrac{50}{5} = 10.$$

So groſs trage man *BZ* ab.

$$20 \times 2 = 40$$
$$\tfrac{40}{5} = 8.$$

So groſs trage man *AE* ab. Wenn nun die Verbindungslinie *EZ* gezogen wird, so wird sie die Aufgabe lösen.

VI. Wenn dieselben Voraussetzungen gemacht sind, trage man *AH* = 5 ab, und es werde die Aufgabe gestellt, von *H* aus die Linie *HΘ* zu ziehen, die das Viereck in dem gegebenen Verhältnis teilen soll. Man ziehe nun, wie wir gelernt haben, die Linie *EZ*, die die Figur in demselben Verhältnis teilt, und die Verbindungslinien *HZ* und *EΘ*. Also ist *ABEZ* = *ABΘH*, daher ist auch das übrigbleibende Dreieck *EZH* = Dreieck *HΘZ*. Mithin ist *HZ* parallel *EΘ*, aber auch *HE* parallel *ZΘ*; also ist *HE* = *ZΘ*. Nun ist *HE* gegeben, also auch *ZΘ*. Nun ist *Z* gegeben, also auch *Θ*; mithin seiner Lage nach *HΘ*. Berechnet wird es, der Analyse entsprechend,



Fig. 66.

ΓΑ ΔΒ ἐπὶ τὸ Η. ἐπεὶ οὖν λόγος ἐστὶν τοῦ ΑΕΒΖ πρὸς τὸ ΕΓΖΔ, λόγος ἄρα ἐστὶν καὶ τοῦ ΑΒΓΔ πρὸς τὸ ΑΕΖΒ. καὶ ἔστιν τὸ ΑΓΒΔ δοθέν· δοθὲν ἄρα καὶ τὸ ΑΕΖΒ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΓΔ πρὸς τὴν ΑΒ, ἡ ΓΗ πρὸς τὴν ΗΑ, λόγος δὲ τῆς ΓΔ πρὸς τὴν ΒΑ, λόγος ἄρα καὶ τῆς ΓΗ πρὸς τὴν ΗΑ· καὶ διελόντι τῆς ΓΑ πρὸς ΑΗ. καὶ δοθεῖσα ἡ ΓΑ· δοθεῖσα ἄρα καὶ ἡ ΑΗ· κατὰ τὰ αὐτὰ καὶ ἡ ΒΗ· δοθὲν ἄρα τὸ ΑΗΒ τρίγωνον. ἀλλὰ καὶ τὸ ΑΕΖΒ τετράπλευρον δοθέν ἐστιν. καὶ ὅλον ἄρα τὸ ΕΗΖ τρίγωνον δοθέν ἐστιν. ἀλλὰ καὶ τὸ ΑΗΒ· ὥστε καὶ τοῦ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΑΗ. καὶ ἔστι δοθὲν τὸ ἀπὸ ΑΗ. δοθὲν ἄρα καὶ τὸ ἀπὸ ΕΗ· δοθὲν ἄρα τὸ Ε. κατὰ τὰ αὐτὰ καὶ τὸ Ζ. θέσει ἄρα ἡ ΕΖ. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως. ἔστω ἡ μὲν ΑΓ μονάδων ιγ, ἡ δὲ ΒΔ μονάδων ιε, ἡ δὲ ΑΒ μονάδων ς, ἡ δὲ ΓΔ μονάδων κ. τὸ ἄρα ἐμβαδὸν τοῦ ΑΒΓΔ, ὡς ἐπάνω ἐμάθομεν, ἔσται μονάδων ρνς. ἔστω δὲ ὁ δοθεὶς λόγος, ὃν ἔχει τὰ γ πρὸς τὰ ε· σύνθες οὖν γ καὶ ε· γίγνεται η. καὶ τὰ ρνς ἐπὶ τὰ γ· γίγνεται υξη. ταῦτα μέρισον εἰς τὸν η. γίγνεται νη∠. τοσούτου ἔσται τὸ ΑΕΒΖ. καὶ ἄφελε ἀπὸ τῶν κ τὰ ς· λοιπὰ ιδ. καὶ τὰ ιγ ἐπὶ τὰ ς· γίγνεται οη.



Fig. 67 a.

---

6 τῆς ΓΔ: correxi   8 ἡ ΑΗ: corr. m. 2   25 ἔστω: ω ex αι fec. m. 1   29 τὰ η ἐπί: correxi

folgendermaſsen. Man trage $BZ = 10$ ab, denn als so groſs wird es nachgewiesen. Und da $AE = 8$, $AH = 5$, ist, so ist $HE = 3$. Nun ist $HE = Z\Theta$. Man trage nun $Z\Theta = 3$ ab. Ganz $B\Theta$ wird daher $= 13$ sein. Zieht man nunmehr die Verbindungslinie $H\Theta$, so wird die Aufgabe gelöst sein.

VII. Wenn wiederum ein Vierseit $AB\Gamma\Delta$ gegeben und AB parallel $\Gamma\Delta$ ist, zu diesen eine Parallele EZ zu ziehen, die das Vierseit in einem gegebenen Verhältnis teilt. Es sei geschehen und ΓA und ΔB seien bis H verlängert. Da nun das Verhältnis $AEBZ : E\Gamma Z\Delta$ gegeben ist, so ist auch $AB\Gamma\Delta : AEZB$ gegeben. Nun ist $A\Gamma B\Delta$ gegeben; also ist auch $AEZB$ gegeben. Und da $\Gamma\Delta : AB = \Gamma H : HA$ ist, $\Gamma\Delta : BA$ aber in einem gegebenen Verhältnis steht, so ist auch das Verhältnis $\Gamma H : HA$ und $\Gamma A : AH$ gegeben. Nun ist ΓA gegeben, also ist auch AH gegeben. Aus denselben Gründen auch BH; also ist das Dreieck AHB gegeben. Aber auch das Vierseit $AEZB$ ist gegeben, mithin ist auch das ganze Dreieck EHZ gegeben. Aber auch AHB; daher auch $EH^2 : AH^2$. Nun ist AH^2 gegeben; also ist auch EH^2 gegeben; mithin ist E und aus denselben Gründen Z gegeben. Also der Lage nach auch EZ. Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen. Es sei $A\Gamma = 13$, $B\Delta = 15$,



Fig. 67 b.

fol. 103$^{\mathrm{r}}$ παράβαλε παρὰ τὸν ιδ· | γίγνεται ε καὶ $\overset{\zeta'}{\delta}$. ἔσται ἡ *ΑΗ* μονάδων ε καὶ $\overset{\zeta'}{\delta}$. πάλιν τὰς ιε ἐπὶ τὸν ϛ· γίγνεται ϙ. παράβαλε παρὰ τὸν ιδ· γίγνεται ϛ ⟨$\overset{\zeta'}{\gamma}$⟩. καὶ ἔσται ἡ *ΒΗ* μονάδων ϛ καὶ $\overset{\zeta'}{\gamma}$. ἀλλὰ καὶ ἡ *ΑΒ* μονάδων ϛ· τὸ ἄρα ἐμβαδὸν τοῦ *ΑΗΒ* τριγώνου ἔσται μονάδων ιε καὶ $\overset{\zeta'}{\gamma}$. τοῦ δὲ *ΑΕΖΒ* τραπεζίου τὸ ἐμβαδὸν νη∟· ὅλου ἄρα τοῦ *ΕΖΗ* τριγώνου τὸ ἐμβαδὸν ἔσται μονάδων ογ $\overset{\iota\delta'}{\iota\gamma}$. καὶ πολλαπλασίασον μονάδας ε καὶ $\overset{\zeta'}{\delta}$ ἐφ' ἑαυτά· γίγνεται λα καὶ $\overset{\mu\vartheta'}{\beta}$. ἐπὶ τὰ ογ $\overset{\iota\delta'}{\iota\gamma}$, καὶ τὰ γενόμενα παράβαλε παρὰ τὸν ιε καὶ $\overset{\zeta'}{\gamma}$, καὶ τῶν γενομένων πλευρὰν λαβέ· γίγνεται ιβ καὶ ιδ' ὡς ἔγγιστα· καὶ ἀπὸ τῆς εὑρεθείσης πλευρᾶς ἄφελε τὰ ε καὶ $\overset{\zeta'}{\delta}$· ἔσονται λοιπαὶ μονάδες ϛ∟· ἀπόλαβε οὖν τὴν *ΑΕ* μονάδων ϛ∟ καὶ ποίησον ὡς ιγ πρὸς ιε, οὕτως ϛ∟ πρὸς τί· ἔσται δὲ πρὸς μονάδας ζ∟· ἀπόλαβε τὴν *ΒΖ* μονάδων ζ∟· ἐπιζευχθεῖσα ἡ *ΕΖ* ποιήσει τὸ προκείμενον.

η. Τῶν αὐτῶν ὑποκειμένων ἀπειλήφθω ἡ *ΑΗ* μονάδων β· καὶ δέον ἔστω διαγαγεῖν τὴν *ΗΘ* ἐν τῷ αὐτῷ λόγῳ διαιροῦσαν τὸ τετράπλευρον. διήχθωσαν οὖν αἱ *ΗΘ*, *ΕΖ* τῷ αὐτῷ λόγῳ διαιροῦσαι τὸ τετράπλευρον, καὶ ἐπεζεύχθωσαν αἱ *ΗΖ*, *ΕΘ*· ἔσται δὴ ὁμοίως ἴσον τὸ *ΑΗΒΘ* τῷ *ΑΕΖΒ*. ὥστε καὶ τὸ *ΗΕΖ* τρίγωνον

---

3 supplevi 4 ἡ *ΑΗ*: correxi 8 et 10 οδϒι´δ´: correxi dubitanter; f. $\overset{o}{\mu}$ τεσσαρεσκαιδεκάτου δεουσῶν οδ 9 $\overset{o}{\mu}$ κ καὶ δ: correxi λα καὶ $\overset{\mu\varepsilon'}{\beta}$: correxi 11—12 ιβ καὶ γ´: correxi 15 πρὸς $\overset{o}{\mu}$ ζι: sed ζ ex ι fec. m. 1

$AB = 6$, $\Gamma\Delta = 20$. Der Inhalt von $AB\Gamma\Delta$ wird also, wie wir oben lernten, $= 156$ sein. Das gegebene Verhältnis sei $= 3:5$.

$$3 + 5 = 8$$
$$156 \times 3 = 468$$
$468 : 8 = 58\frac{1}{2}$. So groſs wird $AEBZ$ sein.
$$20 - 6 = 14$$
$$13 \times 6 = 78$$
$\frac{78}{14} = 5\frac{4}{7}$. AH wird $= 5\frac{4}{7}$ sein.
$$15 \times 6 = 90$$
$\frac{90}{14} = 6\frac{3}{7}$. BH wird $= 6\frac{3}{7}$ sein.

Nun ist $AB = 6$; also der Inhalt des Dreiecks AHB wird $= 15\frac{3}{7}$ sein. Der Inhalt des Trapezes $AEZB$ nun ist $= 58\frac{1}{2}$. Also wird der Inhalt des vollständigen Dreiecks $EZH = 73\frac{13}{14}$ sein.

$$(5\tfrac{4}{7})^2 = 31\tfrac{2}{49}$$

$$\sqrt{\frac{31\frac{2}{49} \times 73\frac{13}{14}}{15\frac{3}{7}}} \text{ annähernd } = 12\tfrac{1}{14}$$

$$12\tfrac{1}{14} - 5\tfrac{4}{7} = 6\tfrac{1}{2}.$$

Trage nun $AE = 6\frac{1}{2}$ ab und stelle die Gleichung auf: $13 : 15 = 6\frac{1}{2} : x = 6\frac{1}{2} : 7\frac{1}{2}$. Trage nun $BZ = 7\frac{1}{2}$ ab. Wird jetzt die Verbindungslinie EZ gezogen, so wird sie die Aufgabe lösen.

VIII. Unter denselben Voraussetzungen trage man $AH = 2$ ab, und es sei die Aufgabe, die Gerade $H\Theta$ zu ziehen, die das Viereck in demselben Verhältnis teilt. Es seien $H\Theta$ und EZ gezogen, die das Viereck in demselben Verhältnis teilen, und es seien die Verbindungslinien HZ und $E\Theta$ gezogen. Es wird daher $AHB\Theta = AEZB$ sein, daher ist auch Dreieck $HEZ = H\Theta Z$. Also ist HZ parallel $E\Theta$. Man ziehe nun auch zu AB die Parallele HK. Also ist Dreieck HKZ ähnlich $EZ\Theta$.

ἴσον ἐστὶν τῷ ΗΘΖ τριγώνῳ. παράλληλος ἄρα ἡ ΗΖ τῇ ΕΘ. ἤχθω δὴ καὶ τῇ ΑΒ παράλληλος ἡ ΗΚ. ὅμοιον ἄρα ἐστὶ τὸ ΗΚΖ τρίγωνον τῷ ΕΖΘ. ὡς ἄρα ἡ ΕΖ πρὸς τὴν ΗΚ, οὕτως ἡ ΖΘ πρὸς ΖΚ. καὶ ἔστι δοθεῖσα ἡ ΖΚ. δοθεῖσα ἄρα καὶ ἡ ΖΘ. fol. 103ᵛ δοθὲν | ἄρα τὸ Θ· ἀλλὰ καὶ τὸ Η· θέσει ἄρα ἡ ΗΘ.



Fig. 68.

συντεθήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως. ποίησον ὡς τὰ ιγ πρὸς τὰ ιε, οὕτως τὰ β πρὸς τί· γίγνεται β καὶ $\overset{\iota\gamma'}{\delta}$. ὅλη δὲ ἡ ΒΖ ἦν ζ∟· λοιπὴ ἄρα ἡ ΚΖ ἔσται μονάδων ε καὶ $\overset{\kappa\varsigma'}{\varepsilon}$. ἡ δὲ ΑΗ ε καὶ $\overset{\zeta'}{\delta}$· καὶ ὁμοίως σύνθες τὰς ς∟ καὶ μονάδας ε καὶ $\overset{\zeta'}{\delta}$· γίγνεται ιβ ιδ'. ταῦτα πολλαπλασίασον ἐπὶ μονάδας ε καὶ $\overset{\kappa\varsigma'}{\varepsilon}$· καὶ τὰ γενόμενα μέρισον εἰς μονάδας ε καὶ $\overset{\zeta'}{\delta}$· γίγνονται μονάδες η δ'. τοσοῦτον ἀπόλαβε τὴν ΖΘ. καὶ ἐπιζευχθεῖσα ἡ ΗΘ ποιήσει τὸ προκείμενον.

θ. Κύκλου δοθέντος, οὗ διάμετρος ἡ ΑΒ, γράψαι ἕτερον περὶ τὸ αὐτὸ κέντρον αὐτῷ, οὗ διάμετρος ἡ ΓΔ, διαιροῦντα τὸν ἐξ ἀρχῆς κύκλον ἐν λόγῳ τῷ δο-

---

Mithin $EZ : HK = Z\Theta : ZK$. Nun ist ZK gegeben, also auch $Z\Theta$; also ist Θ gegeben, aber auch H; also ist seiner Lage nach $H\Theta$ gegeben. Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen.

$$13 : 15 = 2 : x$$
$$x = 2\tfrac{4}{13}.$$

Nun war die ganze Strecke $BZ = 7\frac{1}{2}$, also wird $KZ = 5\frac{5}{26}$. Es ist aber $AH = 5\frac{4}{7}$.

$$\text{Ebenso } 6\tfrac{1}{2} + 5\tfrac{4}{7} = 12\tfrac{1}{14}$$

$$\frac{12\frac{1}{14} \times 5\frac{5}{26}}{7\frac{4}{7}} = 8\tfrac{1}{4} \text{ (genau } 8\tfrac{58}{212}\text{)}$$

So groſs trage $Z\Theta$ ab. Wird nun die Verbindungslinie $H\Theta$ gezogen, so wird sie die Aufgabe lösen.

IX. Wenn ein Kreis, dessen Durchmesser AB ist, gegeben ist, einen anderen um denselben Mittelpunkt mit ihm zu beschreiben, dessen Durchmesser $\Gamma\Delta$ sein soll, der den anfänglich gegebenen Kreis in einem gegebenen Verhältnis teilt. Da nun das Verhältnis des concentrischen Kreisringes $AB\Gamma\Delta$ zu dem Kreis mit dem Durchmesser $\Gamma\Delta$ gegeben, so ist auch das Verhältnis der Kreise mit den Durchmessern AB und $\Gamma\Delta$ gegeben. Es verhalten sich aber die Quadrate der Durchmesser zu einander



Fig. 69.

---

4 πρὸς ΘΚ: correxi   10 ΑΗ ζ καὶ: correxi   11 ηβ ιδ: correxi

θέντι. ἐπεὶ οὖν λόγος ἐστὶν τῆς *ΑΒ ΓΔ* ἴτυος πρὸς τὸν περὶ διάμετρον τὴν *ΓΔ* κύκλον δοθείς, λόγος ἄρα καὶ τοῦ περὶ διάμετρον τὴν *ΑΒ ΓΔ* κύκλου δοθείς. ὡς δὲ οἱ κύκλοι πρὸς ἀλλήλους, οὕτω τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα· λόγος ἄρα καὶ τοῦ ἀπὸ *ΑΒ* πρὸς τὸ ἀπὸ *ΓΔ* δοθείς· καὶ ἔστι δοθὲν τὸ ἀπὸ *ΑΒ*· δοθὲν ἄρα καὶ τὸ ἀπὸ *ΓΔ*. συντεθήσεται δὴ οὕτως· ἔστω ἡ μὲν *ΑΒ* διάμετρος μονάδων κ, ὁ δὲ δοθεὶς λόγος, ὃν ἔχει τὰ γ πρὸς τὰ ε. σύνθες τὰ γ καὶ τὰ ε· γίγνεται η· καὶ τὰ κ ἐφ᾽ ἑαυτά· γίγνεται υ· ἐπὶ τὸν ε· γίγνεται ͵β. ταῦτα μέρισον παρὰ τὸν η· γίγνεται σν· τούτων πλευρὰν λαβὲ ὡς ἔγγιστα· γίγνεται ιε $\overset{\langle ις' \rangle}{ιγ}$. τοσούτου ἔσται ἡ *ΓΔ* διάμετρος.

fol. 104$^{\mathrm{r}}$ ι. | Ὅσα μὲν οὖν τῶν ἐπιπέδων δυνατὸν ἦν ἀριθμοῖς διαιρεῖσθαι, προγέγραπται· ὅσα δὲ διαιρεῖσθαι μὲν ἀναγκαῖόν ἐστι, δι᾽ ἀριθμῶν δὲ οὐ δύναται, ταῦτα γεωμετρικῶς ἐκθησόμεθα.

Ἔστω τριγώνου δοθέντος τοῦ *ΑΒΓ* καὶ ἐκβληθείσης αὐτοῦ μιᾶς πλευρᾶς τῆς *ΒΓ* ἀπὸ δοθέντος τοῦ *Δ* διαγαγεῖν τὴν *ΔΕ* διαιροῦσαν τὸ *ΑΒΓ* τρίγωνον ἐν λόγῳ δοθέντι. γεγονέτω· ἐπεὶ οὖν λόγος ἐστὶ τοῦ *ΑΕΖ* τριγώνου πρὸς τὸ *ΖΕΒΓ* τετράπλευρον, συνθέντι λόγος ἄρα τοῦ *ΑΒΓ* τριγώνου πρὸς τὸ *ΑΖΕ*. καὶ ἔστι δοθὲν τὸ *ΑΒΓ*· δοθὲν ἄρα καὶ τὸ *ΑΖΕ*· [δοθὲν ἄρα καὶ τὸ *ΖΑΕ*]. καὶ ἔστι δοθὲν τὸ *Δ*. εἰς δύο ἄρα θέσεις τὰς *ΑΒ*, *ΑΓ* πεπερασμένας κατὰ τὸ αὐτὸ τὸ *Α* ἀπὸ δοθέντος τοῦ *Δ* διῆκταί τις εὐθεῖα

---

2 τὸν *ΓΔ*: correxi 3 κύκλον: correxi 10 τὸ $\overline{νε}$: correxi 12 ιε ιγ′: correxi 13 ἑξῆς ἡ καταγραφή in mg. inf. m. 1 25 del. m. 2 26 θέσεις: θέσει δεδομένας m. 2 *ΑΒ*, *ΑΕ*: corr. Nath.

wie die Kreise. Also ist auch $AB^2 : \Gamma\Delta^2$ gegeben. Nun ist AB^2 gegeben, also ist auch $\Gamma\Delta^2$ gegeben. Berechnet wird es folgendermaſsen. Es sei der Durchmesser $AB = 20$, das gegebene Verhältnis $= \frac{3}{5}$.

$$3 + 5 = 8$$

$$20^2 = 400$$

$$400 \times 5 = 2000$$

$$\frac{2000}{8} = 250.$$

$$\sqrt{250} \text{ annähernd } = 15\tfrac{13}{16}.$$

So groſs wird der Durchmesser $\Gamma\Delta$ sein.

X. Alle Flächen nun, die durch Zahlenrechnung geteilt werden konnten, sind im Vorstehenden angeführt. Diejenigen aber, die zwar geteilt werden müssen, durch Zahlenrechnung aber nicht geteilt werden können, diese werden wir auf geometrische Methode behandeln.

Die Aufgabe sei, wenn ein Dreieck $AB\Gamma$ gegeben und eine Seite desselben, $B\Gamma$, verlängert ist, von dem gegebenen Punkte Δ die Grade ΔE zu konstruieren, welche das Dreieck $AB\Gamma$ in einem gegebenen Verhältnis teilen soll. Es sei geschehen. Da nun das Verhältnis des Dreiecks AEZ zum Viereck $ZEB\Gamma$ bekannt ist, so ist auch das Verhältnis des Dreiecks $AB\Gamma$ zu Dreieck AZE be-



Fig. 70.

χωρίον ἀποτέμνουσα δοθέν· δοθέντα ἄρα τὰ Ε, Ζ σημεῖα. τοῦτο δὲ ἐν τῷ β′ τῆς τοῦ χωρίου ἀποτομῆς δέδεικται. δέδεικται ἄρα τὸ προκείμενον. κἂν τὸ Δ σημεῖον μὴ ᾖ ἐπὶ τῆς ΒΓ, ἀλλ' ὡς ἔτυχεν, οὐδὲν διοίσει.

ια. Τετραπλεύρου δοθέντος τοῦ ΑΒΓΔ καὶ τμηθείσης τῆς ΑΔ κατὰ τὸ Ε διαγαγεῖν τὴν ΕΖ τέμνουσαν τὸ ΑΒΓΔ τετράπλευρον ἐν τῷ τῆς ΑΕ πρὸς τὴν ΔΕ λόγῳ. γεγονέτω· καὶ ⟨ἤχθω⟩ τῇ μὲν ΑΔ παράλληλος ἡ ΓΗ, τῇ δὲ ΕΒ ἐπιζευχθείσῃ παράλληλος ἡ ΗΘ· καὶ ἐπεζεύχθωσαν αἱ ΓΕ ΕΘ ΕΗ. ἐπεὶ ἴσον ἐστὶ τὸ ΒΗΕ τρίγωνον τῷ ΕΒΘ, κοινὸν προσκείσθω τὸ ΑΒΕ. fol. 104^{v} τὸ | ἄρα ΑΗΕ τρίγωνον ἴσον ἐστὶ τῷ ΑΒΘΕ τετραπλεύρῳ· ὡς ἄρα τὸ ΑΗΕ τρίγωνον, τουτέστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΕΔ, οὕτως τὸ ΑΒΘΕ τετράπλευρον πρὸς τὸ ΕΓΔ τρίγωνον. τετμήσθω δὴ καὶ ἡ ΓΘ κατὰ τὸ Ζ, ὥστε εἶναι ὡς τὴν ΑΕ πρὸς τὴν ΕΔ, τὴν ΘΖ πρὸς ΖΓ, τουτέστι τὸ ΕΘΖ τρίγωνον πρὸς τὸ ΕΓΖ· καὶ ὅλον ἄρα τὸ ΑΒΖΕ τετράπλευρον πρὸς τὸ ΕΖΔΓ τὸν αὐτὸν ἔχει λόγον τῷ τῆς ΑΕ πρὸς τὴν ΕΔ· ἐπεὶ οὖν δοθὲν τὸ Γ, θέσει ἄρα καὶ ἡ ΓΗ. θέσει δὲ καὶ ἡ ΑΒΗ· δοθὲν ἄρα τὸ Η. καὶ ἔστι παρὰ θέσει τὴν ΒΕ ἡ ΗΘ. δοθὲν ἄρα τὸ Θ· δοθεῖσα ἄρα ἡ ΓΘ· καὶ τέτμηται ἐν δοθέντι λόγῳ κατὰ τὸ Ζ· δοθὲν ἄρα τὸ Ζ· θέσει ἄρα ἡ ΕΖ. δεήσει ἄρα εἰς τὴν σύνθεσιν ἐπιζεῦξαι τὴν ΒΕ καὶ τῇ μὲν ΔΕ παράλληλον ἀγαγεῖν τὴν ΓΗ, τῇ δὲ ΒΕ τὴν ΗΘ, καὶ τεμεῖν τὴν ΘΓ κατὰ τὸ Ζ, ὥστε εἶναι ὡς τὴν ΑΕ

---

3 δέδεικται: ab Apollonio Pergaeo 4 ΒΕ: correxi 8 τηῖσ: correxi 9 supplevi 12 τὸ ΕΒΘ: correxi 22—23 παραθέσει: correxi dubitanter 27 τῆι ΔΕ ΒΕ: correxi

kannt. Nun ist ΑΒΓ gegeben, also ist auch ΑΖΕ gegeben. Nun ist Δ gegeben. Es ist also nach 2 ihrer Lage nach bestimmten Graden ΑΒ und ΑΓ, die in demselben Punkt Α begrenzt sind, von dem gegebenen Punkte Δ aus eine Gerade konstruiert, die eine gegebene Figur abschneidet. Also sind die Punkte Ε und Ζ gegeben. Dies ist in dem zweiten Buche des „Raumschnitts“ gezeigt. Also ist der verlangte Beweis geliefert. Und wenn der Punkt Δ nicht auf ΒΕ, sondern beliebig liegt, so wird dies keinen Unterschied machen.

XI. Wenn ein Viereck ΑΒΓΔ gegeben und ΑΔ in Ε geschnitten ist, die Gerade ΕΖ zu konstruieren, die das Vierseit ΑΒΓΔ in dem Verhältnis von $AE : \Delta E$ teilen soll. Es sei geschehen, und man ziehe zu ΑΔ die Parallele ΓΗ und zu der Verbindungslinie ΕΒ die Parallele ΗΘ, und ziehe die Verbindungslinien ΓΕ, ΕΘ und ΕΗ. Da Dreieck $BHE = EB\Theta$, so werde zu beiden ΑΒΕ addiert. Mithin ist Dreieck $AHE =$ Viereck ΑΒΘΕ. Also ist $AHE : E\Gamma\Delta$, d. h. $AE : E\Delta =$ Vierseit $AB\Theta E :$ Dreieck ΕΓΔ. Es soll nun auch ΓΘ in Ζ geschnitten werden, so daſs $AE : E\Delta = \Theta Z : Z\Gamma =$ Dreieck $E\Theta Z : E\Gamma Z$. Also verhält sich auch das vollständige Viereck $ABZE : EZ\Delta\Gamma = AE : E\Delta$. Da nun Γ gegeben ist, so ist seiner Lage nach auch ΓΗ gegeben; ebenso auch ΑΒΗ. Also ist Η gegeben. Nun ist der Lage nach parallel zu ΒΕ die Grade ΗΘ. Also ist Θ gegeben; mithin ist ΓΘ gegeben. Nun ist dies in Ζ nach einem gegebenen Verhältnis geschnitten. Also ist Ζ gegeben, also seiner Lage



Fig. 71.

πρὸς ΕΔ, οὕτω τὴν ΘΖ πρὸς ΖΓ. καὶ ἐπιζευχθεῖσα ἡ ΕΖ ποιήσει τὸ προκείμενον.

ιβ. Τῶν αὐτῶν ὑποκειμένων δεδόσθω τι τυχὸν σημεῖον τὸ Ε καὶ δέον ἔστω διαγαγεῖν τὴν ΕΖ διαιροῦσαν τὸ τετράπλευρον ἐν λόγῳ τῷ δοθέντι. γεγονέτω· καὶ διῃρήσθω ἡ ΑΔ ἐν τῷ δοθέντι λόγῳ κατὰ τὸ Η· καὶ διήχθω ἡ ΘΕ τῷ αὐτῷ λόγῳ τέμνουσα τὸ τετράπλευρον. δοθέντα ἄρα τὰ Η, Θ. δοθὲν δὲ καὶ τὸ Ε· θέσει | ἄρα ἡ ΕΖ. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως· διῃρήσθω ἡ ΑΔ ἐν τῷ δοθέντι λόγῳ κατὰ τὸ Η, καὶ διήχθω ἡ ΗΘ τέμνουσα τὸ τετράπλευρον ἐν τῷ αὐτῷ λόγῳ· καὶ ἐπεζεύχθω ἡ ΕΘ καὶ ταύτῃ παράλληλος ἡ ΗΖ· καὶ ἐπεζεύχθω ἡ ΖΕ. ἔσται δὴ αὕτη ἡ ποιοῦσα τὸ πρόβλημα.



Fig. 72.

fol. 105^{r}

ιγ. Τῶν αὐτῶν ὑποκειμένων τὸ διδόμενον σημεῖον ἐπὶ μηδεμιᾶς ἔστω πλευρᾶς τοῦ τετραπλεύρου. καὶ ἔστω τὸ μὲν δοθὲν τετράπλευρον τὸ ΑΒΓΔ, τὸ δὲ δοθὲν σημεῖον τὸ Ε· καὶ ἔστω διαγαγεῖν τὴν ΕΖ

---

8 τὸ ΗΘ: correxi   14 ἔστω: correxi

nach EZ. Man wird daher behufs Konstruktion die Verbindungslinie BE und zu ΔE die Parallele ΓH, zu BE die Parallele HΘ ziehen müssen und ΘΓ in Z so schneiden müssen, daſs $\Theta Z : Z\Gamma = AE : E\Delta$ ist. Wird nun die Verbindungslinie EZ gezogen, so wird sie die Aufgabe lösen.

XII. Unter denselben Voraussetzungen sei irgend ein beliebiger Punkt E gegeben und die Aufgabe sei, die Gerade EZ zu konstruieren, die das Viereck in einem gegebenen Verhältnis teilt. Es sei geschehen, und AΔ sei in dem gegebenen Verhältnis in H geteilt, und es sei die Gerade ΘH gezogen, die das Viereck in demselben Verhältnis teilt. Also sind H und Θ gegeben, es ist aber auch E gegeben, also seiner Lage nach EZ. Konstruiert wird nun, der Analyse entsprechend, folgendermaſsen. Man teile AΔ in dem gegebenen Verhältnis in H, ziehe die Gerade HΘ, die das Viereck in demselben Verhältnisse teile, ziehe die Verbindungslinie EΘ und zu dieser die Parallele HZ und die Verbindungslinie ZE. Diese also wird es sein, welche die Aufgabe löst.

XIII. Unter denselben Voraussetzungen soll der gegebene Punkt auf keiner Seite des Vierecks liegen. Und es sei ABΓΔ das gegebene Viereck, und E der gegebene



Fig. 73.

ποιοῦσαν λόγον τοῦ $ABZH$ πρὸς τὸ $ZH\Gamma\Delta$ δοθέντα· καὶ ἀνάπαλιν καὶ συνθέντι λόγος ἄρα τοῦ $AB\Gamma\Delta$ πρὸς τὸ $ABZH$ δοθείς. δοθὲν δὲ τὸ $AB\Gamma\Delta$ τετράπλευρον· δοθὲν ἄρα καὶ τὸ $ABZH$. καὶ εἰ μὲν παράλληλός ἐστιν ἡ $A\Delta$ τῇ $B\Gamma$, ἔσται τὸ $ABZH$ ἴσον τῷ ὑπὸ συναμφοτέρου τῆς AH BZ καὶ τῆς ἡμισείας τῆς ἀπὸ τοῦ A καθέτου ἀγομένης ἐπὶ τὴν $B\Gamma$. καὶ ἔστι δοθεῖσα ἡ κάθετος· δοθεῖσα ἄρα καὶ συναμφότερος ἡ AB ZH· θέσει ἄρα ἡ ZE. τοῦτο γὰρ ἑξῆς. εἰ δὲ μή εἰσι παράλληλοι, συμπιπτέτωσαν κατὰ τὸ Θ· δοθὲν ἄρα τὸ $ABZH$ τετράπλευρον. καὶ ὅλον ἄρα
fol. 105$^{\mathrm{v}}$ τὸ $HZ\Theta$ τρίγωνον δοθέν ἐστιν. καὶ ἔστι δοθεῖσα ἡ | Θ γωνία· δοθὲν ἄρα τὸ ὑπὸ ΘHZ· ἀπῆκται ἄρα εἰς τὴν τοῦ χωρίου ἀποτομήν· θέσει ἄρα ἡ EZ.

ιδ. Ἑξῆς δὲ δείξομεν, ὡς δεῖ πολυπλεύρου εὐθυγράμμου δοθέντος καὶ σημείου ἐπὶ μιᾶς αὐτοῦ πλευρᾶς διαγαγεῖν ἀπὸ τοῦ σημείου εὐθεῖαν διαιροῦσαν τὸ χωρίον ἐν τῷ δοθέντι λόγῳ· ἔστω τὸ δοθὲν χωρίον τὸ $AB\Gamma\Delta EZ$, τὸ δὲ δοθὲν σημεῖον ἐπὶ μιᾶς αὐτοῦ πλευρᾶς ἔστω τὸ H· καὶ διήχθω ἡ $H\Theta$ διαιροῦσα τὸ $AB\Gamma\Delta EZ$ ἐν τῷ δοθέντι λόγῳ· ἐπεὶ οὖν λόγος ἐστὶν τοῦ $AB\Theta HZ$ χωρίου πρὸς τὸ $H\Theta\Gamma\Delta E$ δοθείς, καὶ συνθέντι ἄρα λόγος ἐστὶν τοῦ $AB\Gamma\Delta EZ$ πρὸς τὸ $H\Theta\Gamma\Delta E$ δοθείς· δοθὲν δὲ τὸ $AB\Gamma\Delta EZ$. δοθὲν ἄρα καὶ τὸ $H\Theta\Gamma\Delta E$. ὧν τὸ $H\Gamma\Delta E$ δοθέν ἐστι· λοιπὸν ἄρα τὸ $H\Theta\Gamma$ τρίγωνον δοθέν ἐστιν. καὶ ἔστιν αὐτοῦ διπλάσιον, καθέτου ἀχθείσης τῆς HK ἐπὶ τὴν ΓB, τὸ ὑπὸ $\Gamma\Theta$ HK. καὶ ἔστι δοθεῖσα ἡ HK· δοθεῖσα ἄρα καὶ ἡ $\Gamma\Theta$. δοθὲν ἄρα τὸ Θ· θέσει ἄρα

---

1 δοθείς: corr. Nath

Punkt. Nun sei die Aufgabe, die Gerade EZ zu konstruieren, die das Verhältnis von $ABZH : ZH\Gamma\Delta$ zu einem gegebenen macht. Also ist $AB\Gamma\Delta : ABZH$ gegeben. Nun ist $AB\Gamma\Delta$ gegeben, also ist auch $ABZH$ gegeben. Und wenn $A\Delta$ parallel $B\Gamma$ ist, so wird $ABZH = (AH + BZ)$ multipliziert mit der Hälfte der Höhe von A auf $B\Gamma$ sein. Nun ist die Höhe gegeben. Also ist auch $AH + BZ$ gegeben. Mithin auch seiner Lage nach ZE. Denn davon im Folgenden.

Sind sie aber nicht parallel, so sollen sie in Θ zusammentreffen. Gegeben ist also das Viereck $ABZH$, also ist auch das vollständige Dreieck $HZ\Theta$ gegeben. Nun ist der Winkel bei Θ gegeben, also ist auch ΘHZ gegeben.[1] Das Problem ist also auf den Raumschnitt zurückgeführt. Es ist also EZ seiner Lage nach gegeben.

XIV. Im Folgenden werden wir zeigen, wie man, wenn ein gradliniges Vieleck und ein Punkt auf einer der Seiten desselben gegeben ist, von dem Punkt aus eine Gerade konstruieren muſs, die die Figur in einem gegebenen Verhältnis teilt. Die gegebene Figur sei $AB\Gamma\Delta EZ$ und der gegebene Punkt auf einer Seite derselben sei H; und es sei die Grade $H\Theta$ gezogen, die $AB\Gamma\Delta EZ$ in dem gegebenen Verhältnis teilt. Da nun das Verhältnis von $AB\Theta HZ : H\Theta\Gamma\Delta E$ gegeben ist, so auch $AB\Gamma\Delta EZ : H\Theta\Gamma\Delta E$ gegeben. Nun ist $AB\Gamma\Delta EZ$ gegeben; also ist auch $H\Theta\Gamma\Delta E$ gegeben. Hiervon ist



Fig. 74.

---

[1] D. h. der Gestalt, nicht nur dem Inhalt nach.

ἡ ΘΗ. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως· ἔστω δοθεὶς λόγος τῆς ΛΜ πρὸς τὴν ΜΝ· καὶ πεποιήσθω ὡς ἡ ΛΜ πρὸς ΜΝ, οὕτως τὸ ΑΒΓΔΕΖ πρὸς ἄλλο τι χωρίον τὸ Ξ· καὶ ἀπὸ τοῦ Ξ ἀφῃρήσθω ἴσον τῷ ΗΓΔΕ· καὶ ἔστω λοιπὸν τὸ Ο. καὶ κάθετος ἐπὶ τὴν ΒΓ ἤχθω ἡ ΗΚ· καὶ παραβεβλήσθω τὸ Ο παρὰ τὴν ΗΚ· καὶ ποιείτω πλάτος τὴν ἡμίσειαν τῆς ΓΘ· καὶ ἐπεζεύχθω ἡ ΗΘ· ἔσται δὴ ἡ ΗΘ ποιοῦσα τὸ πρόβλημα.

fol. 106^r ιε. | Τῶν αὐτῶν ὑποκειμένων ἔστω τὸ δοθὲν σημεῖον ἐπὶ μηδεμιᾶς πλευρᾶς, καὶ ἔστω τὸ Η· καὶ διήχθω ἡ ΗΘ, ὥστε ἐν δοθέντι λόγῳ διαιρεῖν τὸ χωρίον·



Fig. 75.

δοθὲν ἄρα ἔσται τὸ ΚΘΓΔΕ. καὶ εἰ μὲν παράλληλός ἐστι ἡ ΒΓ τῇ ΕΖ, ἐπεζεύχθω ἡ ΓΕ· ἔσται λοιπὸν τὸ ΘΓΕΚ· ὥστε θέσει ἐστὶν ἡ ΗΘ. εἰ δὲ οὐκ εἰσι παράλληλοι, συμπιπτέτωσαν κατὰ τὸ Λ· δοθὲν ἄρα τὸ ΓΔΕΛ· καὶ ὅλον ἄρα τὸ ΘΚΛ τρίγωνον δοθέν

ΗΓΔΕ gegeben; mithin ist auch Dreieck ΗΘΓ gegeben. Und wenn die Höhe ΗΚ auf ΓΒ gefällt wird, so ist $H\Theta\Gamma = \frac{1}{2}\Gamma\Theta HK$. Nun ist ΗΚ gegeben, also auch ΓΘ. Mithin ist Θ gegeben, also seiner Lage nach auch ΘΗ. Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen. Es sei gegeben das Verhältnis von ΛΜ zu ΜΝ. Nun mache man wie ΛΜ : ΜΝ, so ΑΒΓΔΕΖ zu einer anderen Figur Ξ. Und nehme von Ξ eben so viel fort als ΗΓΔΕ beträgt. Es bleibe übrig Ο. Nun fälle man auf ΒΓ die Höhe ΗΚ und dividiere Ο durch ΗΚ. Nun mache man die Hälfte von ΓΘ gleich der Breite von Ο und ziehe die Verbindungslinie ΗΘ. Nun wird ΗΘ die Gerade sein, die die Aufgabe löst.

XV. Wenn dieselben Voraussetzungen gemacht sind, soll der gegebene Punkt auf keiner Seite liegen und Η heiſsen, und es soll die Gerade ΗΘ so gezogen werden, daſs sie die Figur in einem gegebenen Verhältnis teilt. Es wird also ΚΘΓΔΕ gegeben sein. Wenn nun ΒΓ parallel ΕΖ ist, so ziehe man die Verbindungslinie ΓΕ. Es wird ΘΓΕΚ übrig bleiben, so daſs seiner Lage nach ΗΘ gegeben ist. Wenn aber diese Linien nicht parallel sind, so sollen sie in Λ zusammentreffen. Also ist ΓΔΕΛ gegeben, also ist auch das ganze Dreieck ΘΚΛ gegeben. Nun ist Winkel bei Λ gegeben; also ist auch ΚΛΘ gegeben. Das Problem ist also auf den Raumschnitt zurückgeführt. Also ist ΗΘ seiner Lage nach bestimmt.

XVI. Wenn 2 gerade Linien ΑΒ und ΓΔ ihrer Lage nach parallel sind und Punkt Ε gegeben ist, die Gerade ΕΒΔ zu ziehen, welche die Summe von ΑΒ und ΓΔ zu einer gegebenen Strecke macht. Es sei geschehen, und es sei ΔΖ = ΑΒ, also ist ΓΔΖ gegeben, mithin Z. Man ziehe die Verbindungslinie ΑΖ; also ist ΑΖ seiner Lage nach gegeben, nun ist diese Linie in Η halbiert, denn ΑΒ = ΔΖ. Also ist Η gegeben; aber auch Ε, also seiner

---

7 Η ex alia litt. fec. m. 2

ἐστιν. καὶ ἔστι δοθεῖσα ἡ [Η]Δ γωνία· δοθὲν ἄρα τὸ ὑπὸ ΚΔΘ· ἀπῆκται ἄρα πρὸς τὴν τοῦ χωρίου ἀποτομήν· θέσει ἄρα ἡ ΗΘ.

ις. Δύο θέσει παραλλήλων οὐσῶν τῶν ΑΒ, ΓΔ καὶ δοθέντος τοῦ Ε διαγαγεῖν τὴν ΕΒΔ ποιοῦσαν συναμφότερον τὴν ΑΒ, ΓΔ δοθεῖσαν. γεγονέτω· καὶ τῇ ΑΒ ἴση ἡ ΔΖ. δοθεῖσα ἄρα ἡ ΓΔΖ· δοθὲν ἄρα τὸ Ζ. ἐπεξεύχθω ἡ ΑΖ· θέσει ἄρα ἡ ΑΖ. καὶ δίχα τέτμηται κατὰ τὸ Η· ἴσαι γάρ εἰσιν αἱ ΑΒ, ΔΖ· δοθὲν ἄρα τὸ Η. ἀλλὰ καὶ τὸ Ε· θέσει ἄρα ἡ ΕΗ. δεήσει ἄρα εἰς τὴν σύνθεσιν θεῖναι τῇ δοθείσῃ ἴσην τὴν ΓΖ καὶ ἐπιζεῦξαι τὴν ΑΖ καὶ δίχα τεμεῖν κατὰ τὸ Η, καὶ ἐπιζεύξαντα τὴν ΕΗ ἐκβαλεῖν ἐφ' ἑκάτερα· καὶ ἔσται ἡ ποιοῦσα τὸ πρόβλημα.

fol. 106^{v} ιζ. | Σφαίρας δοθείσης καὶ λόγου τεμεῖν τὴν ἐπιφάνειαν τῆς σφαίρας ἐπιπέδῳ τινί, ὥστε τὰς ἐπι⟨φανείας⟩ τῶν τμημάτων πρὸς ἀλλήλας λόγον ἔχειν τὸν αὐτὸν τῷ δοθέντι. ἔστω γὰρ ὁ δοθεὶς λόγος ⟨ὁ⟩ τῆς Α πρὸς τὴν Β. καὶ ἐκκείσθω ὁ μέγιστος κύκλος τῶν ἐν τῇ σφαίρᾳ, οὗ διάμετρος ἡ ΓΔ. καὶ τετμήσθω ἡ ΓΔ κατὰ τὸ Ε, ὥστε εἶναι ὡς τὴν Α πρὸς τὴν Β, οὕτως τὴν ΓΕ πρὸς τὴν ΕΔ. καὶ ἀπὸ τοῦ Ε τῇ ΓΔ πρὸς ὀρθὰς ἤχθω ἡ ΕΖ. καὶ ἐπεζεύχθωσαν αἱ ΖΓ, ΖΔ· καὶ εἰλήφθω τὶ τυχὸν σημεῖον ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας τὸ Θ· καὶ πόλῳ τῷ Ε, διαστήματι δὲ ἴσῳ τῷ ΓΖ κύκλος γεγράφθω ὁ ΚΛ ἐν τῇ ἐπιφανείᾳ τῆς σφαίρας. ἔσται δὴ τὰ ἀπειλημμένα τμήματα ἐν τῇ σφαίρᾳ ὑπὸ τοῦ ΚΛ κύκλου τὰς ἐπιφανείας ἔχοντα λόγον ἐχούσας πρὸς ἀλλήλας τὸν αὐτὸν τῷ τῆς

---

1 ἡ ΗΛ: correxi 14 ἑξῆς ἡ καταγραφή in mg. inf.
16—17 τὰς ἐπὶ τῶν: correxi 18 ⟨ὁ⟩ addidi

Lage nach EH. Man wird also behufs Konstruktion $\Gamma Z =$ der gegebenen Geraden machen, die Verbindungslinie AZ ziehen und in H halbieren müssen, dann die Verbindungslinie EH ziehen und nach beiden Richtungen verlängern müssen. Und sie wird es sein, die die Aufgabe löst.



Fig. 76.

XVII. Wenn eine Kugel und ein Verhältnis gegeben sind, die Oberfläche der Kugel durch eine Ebene so zu schneiden, daſs die Oberflächen der Segmente zu einander in dem gegebenen Verhältnis stehen. Das gegebene Verhältnis sei das von A zu B, und es liege einer der gröſsten Kreise der Kugel vor, dessen Durchmesser $\Gamma\Delta$ sei. $\Gamma\Delta$ werde in E so geteilt, daſs $\Gamma E : E\Delta = A : B$ sei. Nun errichte man auf $\Gamma\Delta$ in E die Senkrechte EZ und ziehe die Verbindungslinien $Z\Gamma$ und $Z\Delta$. Nun nehme man einen beliebigen Punkt Θ auf der Oberfläche der Kugel und beschreibe mit E als Pol und einem Abstande, der ΓZ gleich



Fig. 77.

Α πρὸς τὴν Β· ἡ μὲν γὰρ πρὸς τῷ Θ πόλῳ ἐπιφάνεια τοῦ τμήματος ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶν τῇ ΓΖ, ἡ δὲ τοῦ λοιποῦ τμήματος ἐπιφάνεια ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶν τῇ ΔΖ. οἱ δὲ εἰρημένοι κύκλοι πρὸς ἀλλήλους εἰσὶν, ὡς τὰ ἀπὸ τῶν ΓΖ ΖΔ τετράγωνα πρὸς ἄλληλα· ὡς δὲ ⟨τὸ ἀπὸ τῆς ΓΖ πρὸς⟩ τὸ ἀπὸ τῆς ΔΖ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ, τουτέστιν ἡ Α πρὸς τὴν Β. αἱ ἄρα εἰρημέναι ἐπιφάνειαι λόγον ἔχουσι πρὸς ἀλλήλας τὸν τῆς Α πρὸς τὴν Β· ταῦτα γὰρ ἐν τῷ β′ περὶ σφαίρας Ἀρχιμήδει δέδεικται (c. 3 t. I p. 207 Heib.).

fol. 107^{r} *ιη. | Τὸν δοθέντα κύκλον διελεῖν εἰς τρία ἴσα δυσὶν εὐθείαις. τὸ μὲν οὖν πρόβλημα ὅτι οὐ ῥητόν ἐστι, δῆλον, τῆς εὐχρηστίας δὲ ἕνεκεν διελοῦμεν αὐτὸν ὡς ἔγγιστα οὕτω. ἔστω ὁ δοθεὶς κύκλος, οὗ κέντρον τὸ Α, καὶ ἐνηρμόσθω εἰς αὐτὸν τρίγωνον ἰσόπλευρον, οὗ πλευρὰ ἡ ΒΓ, καὶ παράλληλος αὐτῇ ἤχθω ἡ ΔΑΕ καὶ ἐπεζεύχθωσαν αἱ ΒΔ ΔΓ. λέγω ὅτι τὸ ΔΒΓ τμῆμα τρίτον ἔγγιστά ἐστι μέρος τοῦ ὅλου κύκλου. ἐπεζεύχθωσαν γὰρ αἱ ΒΑ ΑΓ. ὁ ἄρα ΑΒΓΖΒ τομεὺς τρίτον ἐστὶ μέρος τοῦ ὅλου κύκλου. καὶ ἔστιν ἴσον τὸ ΑΒΓ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ· τὸ ἄρα ΒΔ[Ζ]ΓΖ σχῆμα τρίτον μέρος ἐστὶ τοῦ ὅλου κύκλου, ᾧ δὴ μεῖ⟨ζ⟩όν ἐστιν αὐτοῦ τὸ ΔΒΓ τμῆμα ἀνεπαισθήτου ὄντος ὡς πρὸς τὸν ὅλον κύκλον. ὁμοίως δὲ καὶ ἑτέραν πλευρὰν ἰσοπλεύρου τριγώνου ἐγγράψαντες ἀφελοῦμεν ἕτερον τρίτον μέρος· ὥστε καὶ τὸ*

---

6 *ΖΗ*: correxi 7 inserui 16 *τῷ Α*: correxi 21—22 *τόμους*: corr. m. 2 24 *ΒΔΖΓΖ*: correxi 25 *μεῖον*: correxi

sei, einen Kreis ΚΛ auf der Oberfläche der Kugel. Es werden nun die in der Kugel von dem Kreise ΚΛ abgeschnittenen Segmente Oberflächen haben, die sich zu einander verhalten wie Α : Β. Denn die Oberfläche des Segments bei dem Pole Θ ist gleich einem Kreise, dessen Radius = ΓΖ ist, die Oberfläche des übrigbleibenden Segments, dessen Radius = ΔΖ ist Die genannten Kreise verhalten sich aber zu einander wie $\Gamma Z^2 : Z\Delta^2$. Es verhält sich aber $\Gamma Z^2 : \Delta Z^2 = \Gamma E : E\Delta = A : B$; also haben die genannten Oberflächen zu einander das Verhältnis von Α zu Β. Denn dies ist von Archimedes in dem 2. Buch über die Kugel nachgewiesen.

XVIII. Einen gegebenen Kreis durch 2 Gerade in drei gleiche Teile zu zerlegen. Daſs das Problem nicht rationell ist, ist klar; des praktischen Gebrauchs wegen werden wir aber eine annähernde Zerlegung folgendermaſsen bewerkstelligen. Es sei ein Kreis gegeben, dessen Mittelpunkt Α ist, und es werde in ihn ein gleichseitiges Dreieck einbeschrieben, dessen Seite ΒΓ sei, und dazu die Parallele ΔΑΕ gezogen, und die Verbindungslinien ΒΔ und ΔΓ gezogen. Ich behaupte, daſs das Segment ΔΒΓ annähernd der dritte Teil des ganzen Kreises ist. Man ziehe nämlich die Verbindungslinien ΒΑ und ΑΓ. Es ist also der Kreissektor ΑΒΓΖΒ der dritte Teil des ganzen Kreises. Nun ist Dreieck ΑΒΓ = ΒΓΔ. Die Figur ΒΔΓΖ ist also der dritte Teil des ganzen Kreises, da das Stück, um das das Segment ΑΒΓ gröſser ist als sie, im Verhältnis zu dem ganzen Kreise nicht in Betracht kommt. In gleicher Weise werden wir auch eine andere Seite eines gleichseitigen Dreiecks in den Kreis eintragen und ein zweites Drittel



Fig. 78.

καταλ⟨ε⟩ιπόμενον τρίτον μέρος ἔσται [μέρος] τοῦ ὅλου κύκλου.

⟨ιθ.⟩ Τριγώνου δοθέντος τοῦ ΑΒΓ λαβεῖν τι σημεῖον τὸ Δ, ὥστε ἐπιζευχθεισῶν εὐθειῶν τῶν ΔΑ fol. 107v ΔΒ | ΔΓ τὰ ΑΒΔ ΔΒΓ ΓΑΔ τρίγωνα ἴσα εἶναι. γεγονέτω· καὶ τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΔΕ καὶ ἐπεζεύχθω ἡ ΕΓ· τὸ ἄρα ΑΒΓ τρίγωνον τρίτον μέρος ἐστὶ τοῦ ΑΒΓ. καὶ ἔστιν ἴσον τῷ ΕΒΓ· τριπλάσιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τοῦ ΕΒΓ τριγώνου. ὥστε καὶ ἡ ΑΒ τῆς ΒΕ ἐστὶ τριπλῆ. καὶ ἔστι δοθεῖσα ἡ ΑΒ· δοθεῖσα ἄρα καὶ ἡ ΒΕ· καὶ δοθὲν τὸ Β· δοθὲν ἄρα καὶ τὸ Ε· καὶ παρὰ τὴν ΒΓ [καὶ] ἡ ΕΔ· θέσει ἄρα ἡ ΕΔ. πάλιν δὲ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΔΖ καὶ ἐπεζεύχθω ἡ ΖΒ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΓΑ τριπλασία ἐστὶ τῆς ΖΑ· δοθὲν ἄρα τὸ Ζ· θέσει ἄρα ἡ ΖΔ· θέσει δὲ καὶ ἡ ΔΕ· δοθὲν ἄρα τὸ Δ. συντεθήσεται δὴ οὕτως. εἰλήφθω τῆς μὲν ΑΒ τρίτον μέρος ἡ ΒΕ, τῆς δὲ ΑΓ ἡ ΑΖ, καὶ τῇ μὲν ΒΓ παράλληλος ἡ ΕΔ, τῇ δὲ ΑΒ ἡ ΖΔ. ἐπιζευχθεῖσαι οὖν αἱ ΔΑ, ΔΒ, ΔΓ ποιήσουσι τὰ ΑΒΔ, ΔΒΓ, ΓΔΑ τρίγωνα ἴσα.

Αἱ μὲν οὖν τῶν εἰρημένων ἐπιπέδων χωρίων διαιρέσεις αὐτάρκως εἴρηνται, ἑξῆς δὲ ἐπὶ τὰ στερεὰ χωρήσομεν. ὅσα μὲν οὖν ἰσοπαχῆ τυγχάνει στερεά, οἷον κύλινδροι καὶ παραλληλεπίπεδα καὶ ὅσα ἁπλῶς τὰς βάσεις ταῖς κορυφαῖς τὰς αὐτὰς ἔχει, εὐκόπως διαιρεῖται εἰς τοὺς δοθέντας λόγους. ὃν γὰρ ἔχει λόγον τὸ μῆκος, τὸν αὐτὸν ἔχει λόγον καὶ τὸ στερεόν. τῶν

---

1 *καταλιπόμενον*: correxi *μέρος* delevi 3 numerum capitis addidi 3—4 *τὸ σημεῖον*: correxi 8 *τὸ ΕΒΓ*: corr. m. 2 12 [*καὶ*] del. m. 2

davon abteilen. Daher wird dann auch der Rest ein ganzes Drittel des ganzen Kreises sein.

XIX. Wenn ein Dreieck $AB\Gamma$ gegeben ist, einen Punkt Δ so zu bestimmen, daſs wenn die Verbindungslinien ΔA, ΔB und $\Delta\Gamma$ gezogen werden, die Dreiecke $AB\Gamma$, $\Delta B\Gamma$, $\Gamma A\Delta$ einander gleich sind. Es sei geschehen, und man ziehe zu $B\Gamma$ die Parallele ΔE, und die Verbindungslinie $E\Gamma$. Also ist Dreieck $\Delta B\Gamma = \frac{1}{3}\,AB\Gamma$ und dieses ist $= EB\Gamma$. Also ist $AB\Gamma = 3\,EB\Gamma$. Daher ist auch $AB = 3\,BE$. Nun ist AB gegeben, also auch BE, und B gegeben, also auch E und parallel $B\Gamma$ ist $E\Delta$; also ist seiner Lage nach $E\Delta$ gegeben. Wiederum ziehe man zu AB die Parallele ΔZ und die Verbindungslinie ZB. Wir werden also in ähnlicher Weise nachweisen, daſs $\Gamma A = 3\,Z A$ ist. Also ist Z gegeben, mithin seiner Lage nach $Z\Delta$, aber es ist auch seiner Lage nach ΔE gegeben. Also ist Δ gegeben. Konstruiert wird es folgendermaſsen. Man nehme den dritten Teil von $AB = BE$ und den dritten Teil von $A\Gamma = AZ$ und ziehe zu $B\Gamma$ die Parallele $E\Delta$, zu AB die Parallele $Z\Delta$. Zieht man nun die Verbindungslinien ΔA, ΔB und $\Delta\Gamma$, so werden sie die gleichen Dreiecke $AB\Delta$, $\Delta B\Gamma$ und $\Gamma\Delta A$ bilden.



Fig. 79.

Die Teilungsmethoden nun der genannten ebenen Figuren sind ausreichend behandelt. Im folgenden werden fol. 108^{r} δὲ μειούρων αἱ διαιρέσεις οὐχ οὕτως, οἷον πυραμίδων | καὶ κώνων καὶ τῶν τοιούτων· διὸ περὶ αὐτῶν γράψομεν.

κ. Ἔστω γὰρ πυραμὶς βάσιν μὲν ἔχουσα οἱανδηποτοῦν τὴν $ΑΒΓΔ$, κορυφὴν δὲ τὸ $Ε$ σημεῖον· καὶ δεδόσθω αὐτῆς μία πλευρὰ ἡ $ΑΕ$ μονάδων ε. καὶ δέον ἔστω τεμεῖν αὐτὴν ἐπιπέδῳ παραλλήλῳ τῇ βάσει, ὥστε τὴν ἀποτεμνομένην πρὸς τῇ κορυφῇ πυραμίδα τοῦ καταλειπομένου στερεοῦ εἶναι, εἰ τύχοι, τετραπλῆν. τεμνέσθω καὶ ποιείτω τομὴν τὸ $ΖΗΘΚ$. ⟨ἡ ἄρα $ΑΖ$⟩ πλευρά ἐστι τοῦ $ΑΒΓΔ$ $ΖΗΘΚ$ στερεοῦ· ἡ ἄρα $ΑΒΓΔΕ$ πυραμὶς πρὸς τὴν $ΖΘΗΚΕ$ πυραμίδα λόγον ἔχει, ὃν τὰ ε πρὸς τὰ δ. ὡς δὲ αἱ πυραμίδες πρὸς ἀλλήλας, οὕτως οἱ ἀπὸ τῶν ὁμολόγων πλευρῶν κύβοι· ὁ ἄρα ἀπὸ τῆς $ΑΕ$ κύβος πρὸς τὸν ἀπὸ τῆς $ΕΖ$ κύβον λόγον ἔχει, ὃν τὰ ε πρὸς τὰ δ· καὶ ἔστιν ⟨ὁ⟩ ἀπὸ τῆς $ΑΕ$ κύβος μονάδων ρκε· ὁ ἄρα ἀπὸ τῆς $ΕΖ$ κύβος ἔσται μονάδων ρ. δεήσει ἄρα τῶν ρ μονάδων λαβεῖν κυβικὴν πλευρὰν ὡς ἔγγιστα· ἔστι δὲ μονάδων δ καὶ $\overset{\iota\delta'}{\vartheta}$, ὡς ἑξῆς δείξομεν. ὥστε ἐὰν ἀπολημφθῇ ἡ $ΕΖ$ μονάδων δ καὶ $\overset{\iota\delta'}{\vartheta}$ καὶ διὰ τοῦ $Ζ$ σημείου τμηθῇ ἡ πυραμὶς ἐπιπέδῳ παραλλήλῳ τῇ βάσει, ἔσται τὸ προκείμενον. συντεθήσεται δὲ οὕτως· κύβισον τὰ ε· γίγνεται ρκε. καὶ ἐπεὶ λόγος ἐστίν, ἐν ᾧ διαιρεῖται ἡ πυραμὶς, ὃν δ πρὸς α, σύνθες δ καὶ ἕν· γίγνεται ε. καὶ τὰ ρκε ἐπὶ τὸν δ· γίγνεται φ. παράβαλε παρὰ τὸν ε· γίγνεται ρ· καὶ τού-

---

1 μειούρων αἱ διαιρέσεις litteris paene evanidis 10—11 supplevi 17 ⟨ὁ⟩ addidi

wir uns den Körpern zuwenden. Alle Körper nun von gleichmäſsiger Dicke wie Cylinder und Parallelepipeda und alle, in denen schlechthin die unteren Abschluſsflächen gleich den oberen sind, werden leicht nach gegebenen Verhältnissen zerlegt. Denn die Körper verhalten sich wie die Höhen. Mit der Teilung von Körpern, die sich verjüngen, z. B. Pyramiden, Kegeln und ähnlichen, verhält es sich dagegen anders, daher werden wir über sie handeln.

XX. Es sei eine Pyramide, die eine Basis $ΑΒΓΔ$ von beliebiger Form hat und zur Spitze den Punkt E. Es sei gegeben eine Seite derselben $AE = 5$ und die Aufgabe sei, sie mit einer der Basis parallelen Ebene so zu schneiden, daſs die an der Spitze abgeschnittene Pyramide beispielsweise viermal so groſs sei als der übrigbleibende Körper. Man mache den Schnitt, er ergebe die Schnittfläche $ΖΗΘΚ$, so daſs also $ΑΖ$ eine Seite des Körpers $ΑΒΓΔΖΗΘΚ$ ist. Also verhält sich die Pyramide $ΑΒΓΔΕ$ zu der Pyramide $ΖΘΗΚΕ$ $= 5 : 4$. Es verhalten sich aber die dritten Potenzen entsprechender Seiten wie die Pyramiden zu einander. Also ist $AE^3 : EZ^3 = 5 : 4$. Nun ist $AE^3 = 125$; also $EZ^3 = 100$. Man wird daher $\sqrt[3]{100}$ annähernd bestimmen müssen; sie ist $= 4\frac{9}{14}$, wie wir im folgenden zeigen werden. Wenn daher $EZ = 4\frac{9}{14}$ abgetragen und im Punkte Z die



Fig. 80.

των κυβικὴν πλευράν· γίγνεται δ καὶ $\overset{\iota\delta'}{\vartheta}$. τοσούτου ἔσται ἡ *EZ*.

Ὡς δὲ δεῖ λαβεῖν τῶν ρ μονάδων κυβικὴν πλευρὰν, νῦν ἐροῦμεν.

Λαβὲ τὸν ἔγγιστα κύβον τοῦ ρ τόν τε ὑπερβάλλοντα καὶ τὸν ἐλλείποντα· ἔστι δὲ ὁ ρκε καὶ ὁ ξδ. καὶ ὅσα μὲν ὑπερβάλλει, μονάδες κε, ὅσα δὲ ἐλλείπει, fol. 108$^{\mathrm{v}}$ μονάδες λς. | καὶ ποίησον τὰ ε ἐπὶ τὰ λς· γίγνεται ρπ· καὶ τὰ ρ· γίγνεται σπ. ⟨καὶ παράβαλε τὰ ρπ παρὰ τὰ σπ·⟩ γίγνεται $\overset{\iota\delta'}{\vartheta}$. πρόσβαλε τῇ [κατὰ] τοῦ ἐλάσσονος κύβου πλευρᾷ, τουτέστι τῷ δ· γίγνεται μονάδες δ καὶ $\overset{\iota\delta'}{\vartheta}$. τοσούτων ἔσται ἡ τῶν ρ μονάδων κυβικὴ πλευρὰ ὡς ἔγγιστα.

κα. Τὸν δοθέντα κῶνον διελεῖν ἐπιπέδῳ παραλλήλῳ τῇ βάσει ἐν τῷ δοθέντι λόγῳ. ἔστω ὁ δοθεὶς κῶνος, οὗ βάσις μέν ἐστιν ὁ *AB* κύκλος, κορυφὴ δὲ τὸ *Γ*. καὶ ἔστω αὐτοῦ ἡ πλευρὰ μονάδων ε. καὶ ἐπιτετάχθω διελεῖν, ὡς εἴρηται, ὥστε τὸν ἀποτεμνόμενον πρὸς τῇ κορυφῇ κῶνον τετραπλασίονα εἶναι τοῦ καταλειπομένου κολούρου κώνου. ἀκολούθως οὖν τοῖς ἐπὶ τῆς πυραμίδος εἰρημένοις ἕξει ὁ ἀπὸ τῆς *AΓ* κύβος πρὸς τὸν ἀπὸ τῆς *ΓΔ* κύβον λόγον, ὃν ἔχει τὰ ε πρὸς τὰ δ· ὁ ἄρα ἀπὸ τῆς *ΓΔ* κύβος ἔσται μονά-



Fig. 81.

Pyramide durch eine der Basis parallele Ebene geschnitten wird, so wird die Aufgabe gelöst sein. Berechnet wird es folgendermaſsen. $5^3 = 125$. Und da das Verhältnis, in dem geteilt wird, $= 4 : 1$ ist:

$$4 + 1 = 5$$
$$125 \times 4 = 500$$
$$500 : 5 = 100$$
$$\sqrt[3]{100} = 4\tfrac{9}{14}.$$

So groſs wird *EZ* sein.

Wie man $\sqrt[3]{100}$ zu bestimmen hat, werden wir nunmehr angeben.

Nimm die 100 nächstkommende Kubikzahl, sowohl die nächstgröſsere als die nächstkleinere. Es sind 125 und 64.

$$125 - 100 = 25$$
$$100 - 64 = 36$$
$$5 \times 36 = 180$$
$$180 + 100 = 280$$
$$\tfrac{180}{280} = \tfrac{9}{14}$$
$$4 + \tfrac{9}{14} = 4\tfrac{9}{14}.$$

So groſs wird annähernd $\sqrt[3]{100}$ sein.

XXI. Einen gegebenen Kegel durch eine der Basis parallele Ebene in einem gegebenen Verhältnis zu teilen. Es sei der gegebene Kegel der, dessen Basis der Kreis *AB* und dessen Spitze *Γ* ist, und seine Seite sei $= 5$. Die Aufgabe sei, ihn in der angegebenen Weise zu teilen, so daſs der an der Spitze abgeschnittene Kegel viermal so groſs ist, als der übrigbleibende Kegelstumpf. Es wird sich nun, entsprechend dem bei der Pyramide Bemerkten, $A\Gamma^3 : \Gamma\Delta^3 = 5 : 4$ verhalten. Also wird $\Gamma\Delta^3 = 100$, mithin $\Gamma\Delta = 4\tfrac{9}{14}$ sein. Man trage nun *ΓΔ* so groſs ab und

---

3 sq. cf. M. Curtze Zeitschrift f. Math. u. Physik, hist.-litt. Abt. 1897 p. 118 sq. 3 τὸν ρ: correxi 10–11 καὶ παραβεβλήσθω ταῦτα παρὰ τὰ ρπ man. 2 in mg. perperam; supplevi 12 [κατὰ] delevi 13 τὸ δ: correxi

δων ρ· αὐτὴ ἄρα ἡ ΓΔ ἔσται μονάδων δ καὶ $\overset{\iota\delta'}{\vartheta}$ ἔγγιστα. ἀπειλήφθω οὖν ἡ ΓΔ τοσούτων. καὶ διὰ τοῦ Δ ἐπίπεδον ἐκβεβλήσθω παράλληλον τῇ βάσει καὶ ποιείτω τομὴν τὸν ΔΕ κύκλον, ὃς ποιήσει τὸ προκείμενον.

fol. 109r κβ. | Ἔ⟨στ⟩ω δὴ [ὁ] δοθεὶς ⟨κόλουρος⟩ κῶνος, ὃν δεῖ διελεῖν ἐν τῷ δοθέντι λόγῳ. ἔστω βάσις μὲν ὁ ΑΒ κύκλος, κορυφὴ δὲ ὁ ΔΕ. καὶ ἐπιτετάχθω διελεῖν αὐτὸν ἐπιπέδῳ παραλλήλῳ τῇ βάσει, ὥστε τὸ πρὸς τῇ ⟨κορυφῇ⟩ τμῆμα τετραπλάσιον εἶναι τοῦ καταλειπομένου· δεδόσθω δ' ἡ μὲν τοῦ ΑΒ κύκλου διάμετρος μονάδων κη, ἡ δὲ τοῦ ΔΕ μονάδων κα, τὸ δὲ ὕψος μονάδων ιβ· καὶ διῃρήσθω, ὡς εἴρηται, τῷ ΖΗ κύκλῳ, ὥστε τὸν ΔΕΖΗ κῶνον κόλουρον τετραπλασίονα εἶναι τοῦ ΖΗΑΒ κολούρου κώνου· ὁ ἄρα ΑΒΔΕ κωνοκόλουρος πρὸς τὸν ΔΕΖΗ λόγον ἔχει, ὃν ε πρὸς δ. καὶ ἔστιν ὁ ΑΒΔΕ κωνοκόλουρος δοθείς· αἱ γὰρ διάμετροι τῶν βάσεων αὐτοῦ δοθεῖσαί εἰσιν καὶ ἔτι τὸ ὕψος δοθέν· δοθεὶς ἄρα καὶ ὁ ΔΕΖΗ κωνοκόλουρος. ἤχθω δὴ κάθετος ἡ ΔΘ καὶ προσηυξήσθω ὁ κῶνος. καὶ ἔστω αὐτοῦ κορυφὴ τὸ Γ, ἄξων δὲ ὁ ΓΔ. ἐπεὶ ἡ ΔΕ ἔστι δοθεῖσα, δοθεῖσα ἄρα καὶ ἡ ΔΛ, τουτέστιν ἡ ΚΘ. ἀλλὰ καὶ ἡ ΔΚ δοθεῖσά ἐστιν· καὶ λοιπὴ ἄρα ἡ ΑΘ δοθεῖσά ἐστιν· λόγος ἄρα τῆς ΚΔ πρὸς ΑΘ δοθείς· ὥστε καὶ τῆς ΓΚ πρὸς ΔΘ· καὶ ἔστι δοθεῖσα ἡ ΔΘ· δοθεῖσα ἄρα ἡ ΓΚ· ὧν ἡ ΚΛ δοθεῖσά ἐστιν· ἴση γάρ ἐστι τῇ ΔΘ. καὶ λοιπὴ ἄρα ἡ ΓΔ δοθεῖσά ἐστιν· δοθεὶς ἄρα ἐστὶν ὁ ΓΔΕ κῶνος κ[αὶ ἡ] ΖΗ· καὶ ἔτι ὁ ΓΒΑ· λόγος ἄρα fol. 109v τῶν ΓΑΒ, ΔΕΓ κώνων πρὸς τὸν ΓΗΖ κῶνον. | ὡς δὲ οἱ κῶνοι πρὸς ἀλλήλους, οὕτω καὶ ο⟨ἱ ἀπὸ τῶ⟩ν

---

lege durch Δ eine der Basis parallele Ebene. Diese gebe als Schnittfläche den Kreis ΔE, der die Aufgabe lösen wird.

XXII. Es sei ein Kegelstumpf gegeben, den man in einem gegebenen Verhältnis teilen soll. Seine Basis sei der Kreis AB, seine obere Abschluſsfläche der Kreis ΔE und die Aufgabe sei, ihn durch eine der Basis parallele Ebene so zu teilen, daſs der Abschnitt an der oberen Abschluſsfläche viermal so groſs ist als der übrig bleibende. Es sei nun der Durchmesser des Kreises $AB = 28$, der Durchmesser des Kreises $ΔE = 21$ und die Höhe $= 12$ gegeben. Geteilt sei, wie gesagt, durch den Kreis ZH, so daſs der Kegelstumpf ΔEZH viermal so groſs ist als der Kegelstumpf ZHAB. Es verhält sich also Kegelstumpf $ABΔE : ΔEZH = 5 : 4$. Nun ist der Kegelstumpf ABΔE gegeben; denn die Durchmesser seiner Basen sind gegeben und auſserdem seine Höhe. Also ist auch der Kegelstumpf ΔEZH gegeben, Man ziehe nun die Senkrechte ΔΘ und vervollständige den Kegel; seine Spitze sei Γ, seine Axe ΓΛ. Da ΔE gegeben ist, ist auch ΔΛ1), d. h. KΘ gegeben. Aber auch ΔK ist gegeben, mithin ist AΘ gegeben. Also ist $KΔ : AΘ$ gegeben, daher auch $ΓK : ΔΘ$. Nun ist ΔΘ gegeben, also ist ΓK gegeben. Nun ist KΛ gegeben, denn sie ist $= ΔΘ$. Also ist ΓΛ gegeben. Mithin ist der Kegel ΓΔE und ZH gegeben und auſserdem der Kegel ΓAB, mithin das Verhältnis der Kegel $ΓAB + ΔEΓ$ zu dem Kegel ΓHZ. Es verhalten sich aber $ΓΛ^3 + ΓK^3 : ΓM^3$ wie die Kegel zu einander. Nun ist aber $ΓΛ^3 + ΓK^3$ gegeben, also ist auch $ΓM^3$ gegeben. Also ist ΓM gegeben, daher auch ΛM; also ist $KΛ : ΛM$, d. h. $AΔ : AZ$

---

1) Man sollte erwarten „ΔΘ d. h. KΛ", was jedoch auch schwer verständlich wäre, da ΔΘ als Höhe gegeben ist.

---

6 supplevi [ὁ] delevi supplevi 9—10 προς τι τμῆμα: correxi et supplevi 11 δὴ correxi 13 δι$\overset{\iota}{\eta}$ρ$\overset{\eta}{\varepsilon}$ίσθω m. 1 17—18 δοθεῖσαι: distinxi 23 AK: correxi; sequuntur mendosa 25 KA: correxi 29 supplevi 31 supplevi

ΓΚΛ κύβοι πρὸς τὸν ἀπὸ τοῦ ΓΜ κύβον. δ⟨οϑέντες⟩ δὲ οἱ ἀπὸ τῶν ΚΓΛ κύβοι· δοϑεὶς ἄρα καὶ ὁ ἀπὸ τῆς ΓΜ κύβος· δοϑεῖσ⟨α⟩ ἄρα ἡ ΓΜ· ὥστε καὶ ἡ ΛΜ· λόγος ἄρα τῆς ΚΛ πρὸς τὴν ΛΜ, τουτέστι τῆς ΑΔ πρὸς ΑΖ δοϑείς· καὶ ἔστι δοϑεῖσα ἡ ΑΔ, ἐπεὶ καὶ ἑκατέρα τῶν ΔΘ ΘΑ· δοϑεῖσα ἄρα καὶ ἡ ΑΖ· δοϑὲν ἄρα τὸ Ζ· ὥστε καὶ ἡ ⟨δι'⟩ αὐτοῦ τομή, τουτέστιν ὁ ΖΗ κύκλος. συντεϑήσεται δὲ ἀκολούϑως τῇ ἀναλύσει οὕτως· λαβὲ τὸ στερεὸν τοῦ κολουροκώνου, ὡς ἐμάϑομεν. γίνεται ⟨,εχϙη⟩. ταῦτα ἐπὶ τὸν δ· γίγνεται $\overset{\beta}{\mu}$ *,βψϙβ. παράβαλε παρὰ τὸν ε· γίγνεται ,δφνη* $\overset{\langle\varepsilon'\rangle}{\beta}$*· τοσούτου ἔσται τὸ ἐμβαδὸν τοῦ ΔΕΖΗ κολουροκώνου. καὶ ἀπὸ τῶν κη ἄφελε κα· λοιπὰ ζ· τούτων τὸ ἥμισυ· γίγνεται γ∟· καὶ τῶν κη τὸ ἥμισυ· γίγνεται ιδ· καὶ ποίησον ὡς τὰ γ∟ πρὸς τὰ ιδ, οὕτως τὸ ὕψος, τουτέστι τὰ ιβ, πρὸς ἄλλον τινά· ἔστι δὲ πρὸς μη. ἄφελε τὰ ιβ· λοιπὰ λς· ἔσται ὁ ἄξων τοῦ ΓΔΕ κώνου μονάδων λς. καὶ ἔστιν ἡ ΔΕ διάμετρος μονάδων κα· τὸ ἄρα στερεὸν τοῦ κώνου, ὡς ἐμάϑομεν, ἔσται ,δρνη· πρόσϑες ταῦτα ἑκατέρῳ τῷ τε ,εχϙη καὶ τῷ ,δφνη* $\overset{\varepsilon'}{\beta}$*· γίγνεται ,ϑωνς· καὶ τὰ ,δρνη· γίγνεται* $\overset{\alpha}{\mu}$ *,διδ· ⟨σύνϑες τὰ ,δφνη* $\overset{\varepsilon'}{\beta}$ *καὶ τὰ ,δρνη· γίγνεται* $\overset{\alpha}{\mu}$ *,διδ⟩. καὶ κύβισον τὸν μη· καὶ ἔτι τὸν λς· καὶ σύνϑες τοὺς β κύβους· γίνονται* $\overset{\alpha}{\mu}$ *,ξσμη. ποίησον οὖν ὡς τὰ*

1—2 supplevi 3 *δοϑείς*: correxi 5 *ΔΖ*: correxi 6 *ΔΘ ΘΔ*: correxi 7 *ΔΖ*: correxi supplevi 10 explevi intercapedinem 12 *,δφνηβ'*: correxi 13 *κβ*, sed *β* in *η* mutavit m. 1 19 *κδ*: correxi 21 *,δφνε*: correxi 22 supplevi 23 *μδ*: correxi

gegeben. Nun ist *ΑΔ* gegeben, da *ΔΘ* und *ΘΑ* gegeben sind. Also ist auch *ΑΖ* gegeben, mithin *Ζ*. Also ist auch der Schnitt durch *Ζ*, d. h. der Kreis *ΖΗ* gegeben. Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen. Bestimme den Körperinhalt des Kegelstumpfs, wie wir es lernten; er ist = 5698.

$$4 \times 5698 = 22792$$
$$\frac{22\,792}{5} = 4558\tfrac{2}{5}.$$

So groſs wird der Inhalt des Kegelstumpfs *ΔΕΖΗ* sein,

$$28 - 21 = 7$$
$$\frac{7}{2} = 3\tfrac{1}{2}$$
$$\frac{28}{2} = 14$$
$$\frac{3\frac{1}{2}}{14} = \frac{12}{x}$$
$$x = 48$$
$$48 - 12 = 36.$$

Die Axe des Kegels *ΓΔΕ* wird = 36 sein. Nun ist der Durchmesser *ΔΕ* = 21; der Körperinhalt des Kegels wird daher, wie wir lernten, = 4158 sein. Addiere dies sowohl zu 5698 als auch zu 4158. Es ergiebt 9856. Dazu 4158, ergiebt 14014.

$$4558\tfrac{2}{5} + 4158 = 8716\tfrac{2}{5}$$
$$48^3 + 36^3 = 17248$$

Nun ist

$$\frac{14014}{8716\frac{2}{5}} = \frac{17248}{x}$$
$$x = 97050$$
$$\sqrt{97050} \text{ annähernd} = 46$$
$$46 - 36 = 10$$
$$12^2 = 144$$
$$(3\tfrac{1}{2})^2 = 12\tfrac{1}{4}$$
$$144 + 12\tfrac{1}{4} = 156\tfrac{1}{4}$$
$$\sqrt{156\tfrac{1}{4}} = 12\tfrac{1}{2}.$$

Die Seite *ΑΔ* des Kegelstumpfs wird = $12\frac{1}{2}$ sein.

$\overset{\alpha}{\mu}$ ͵διδ πρὸς τὸ [ἀπὸ] ͵ηψις $\overset{\varepsilon'}{\beta}$, οὕτως $\overset{\alpha}{\mu}$ ͵ζσμη πρός τι· ἔστι δὲ πρὸς $\overset{\vartheta}{\mu}$ ͵ζν. τούτων λαβὲ κυβικὴν πλευρὰν ὡς ἔγγιστα· γίγνονται μς. ἄφελε τὰς λς· λοιπαὶ μονάδες ι· καὶ τὰ ιβ τοῦ ὕψους ἐφ' ἑαυτά· γίνεται ρμδ· καὶ τὰ γ∟ ἐφ' ἑαυτά· γίγνεται ιβ δ΄. σύνθες· γίγνονται ρνς δ΄· ὧν πλευρὰ γίγνεται ιβ∟· ἡ τοῦ κωνο[υ]κολούρου πλευρὰ ἡ *ΔΑ* ιβ∟· καὶ ποίησον ὡς τὰ ιβ τοῦ fol. 110^{r} ὕψους πρὸς τὰ ι, οὕτως τὰ ιβ∟ πρὸς τί· | ἔστι δὲ πρὸς ι $\overset{\iota\beta'}{\varepsilon}$. καὶ διὰ τοῦ Ζ σημείου τετμήσθω ὁ κῶνος, ὡς εἴρηται. καὶ ἔσται τὸ προκείμενον.

κγ. Τὴν δοθεῖσαν σφαῖραν ἐπιπέδῳ τεμεῖν, ὥστε τὰ τμήματα τῆς σφαίρας πρὸς ἄλληλα λόγον ἔχειν τὸν ἐπιταχθέντα. ἔστω δὴ ὁ δοθεὶς λόγος τῆς *Α* πρὸς τὴν *Β*· καὶ ἐκκείσθω κύκλος ἐν ἐπιπέδῳ εἷς τῶν μεγίστων τῶν ἐν τῇ σφαίρᾳ, οὗ κέντρον μὲν τὸ *Γ*, διάμετρος δὲ ἡ *ΔΕ*· καὶ τῇ *ΓΕ* ἴση κείσθω ἡ *ΕΖ* καὶ τετμήσθω κατὰ τὸ *Η*, ὥστε εἶναι ὡς τὴν *ΖΗ* πρὸς τὴν *ΗΕ*, τὴν *Α* πρὸς τὴν *Β*· ἡ δὲ *ΔΕ* τετμήσθω κατὰ τὸ *Θ*, ὥστε εἶναι ὡς τὴν *ΕΖ* πρὸς *ΖΗ*, οὕτως τὸ ἀπὸ *ΕΔ* πρὸς τὸ ἀπὸ *ΔΘ*· καὶ τῇ *ΔΕ* πρὸς ὀρθὰς ἡ *ΘΚΛ*· καὶ ἐπεζεύχθω ἡ *ΚΔ*· καὶ εἰλήφθω τυχὸν σημεῖον ἐπὶ τῆς ἐπιφανείας, τῆς σφαίρας καὶ πόλῳ τῷ *Μ*, διαστήματι ⟨δὲ⟩ [τῷ] ἴσῳ τῇ *ΚΔ* κύκλος γεγράφθω ἐν τῇ ἐπιφανείᾳ τῆς σφαίρας ὁ *ΝΞ*. λέγω ὅτι τὰ ἀπολαμβανόμενα τμήματα ὑπὸ τοῦ γραφέντος κύκλου πρὸς ἄλληλα λόγον ἔχει, ὃν ἡ *Α* πρὸς τὴν *Β*. τοῦτο γὰρ fol. 110v ὁμοίως | Ἀρχιμήδει δέδεικται ἐν τῷ β΄ περὶ σφαίρας (c. 4 t. 1 p. 210 Heib.).

---

1 [ἀπὸ] delevi $\overset{\varepsilon}{\mu}$: correxi 2 $\overset{o}{\mu}$ ͵ζν: correxi 6—7 *κώνου κολούρου*: correxi 8—9 πρὸς ι΄γ΄ ι΄β΄: correxi 23 [τῷ] delevi, ⟨δὲ⟩ addidi

---

Nun ist

$$\frac{12}{10} = \frac{12\frac{1}{2}}{x}$$

$$x = 10\tfrac{5}{12}$$

Nun schneide man durch den Punkt *Z* den Kegel, wie angegeben, und die Aufgabe wird gelöst sein.

XXIII. Eine gegebene Kugel durch eine Ebene so zu schneiden, daſs die Kugelsegmente ein gegebenes Verhältnis haben. Das gegebene Verhältnis sei das von *A* zu *B* und es sei ein gröſster Kreis der Kugel in einer Ebene gegeben, dessen Mittelpunkt *Γ* und dessen Durchmesser *ΔE* sein soll. Nun werde $EZ = ΓE$ gemacht und in *H* so geschnitten, daſs $ZH : HE = A : B$. Und *ΔE* werde in *Θ* so geschnitten, daſs $EZ : ZH = EΔ^2 : ΔΘ^2$. Man ziehe dann im rechten Winkel zu *ΔE* die Linie *ΘKΛ*, und die Verbindungslinie *KΔ*, nehme einen beliebigen Punkt auf der Oberfläche der Kugel und beschreibe mit *M* als Pol und einem Abstand, der gleich *KΔ* sei, auf der Oberfläche der Kugel den Kreis *NΞ*. Ich behaupte, daſs die von dem beschriebenen Kreise getrennten Kugelsegmente sich wie *A* : *B* zu einander verhalten. Denn dies hat Archimedes ebenfalls in seinem 2. Buche über die Kugel nachgewiesen.



Fig. 82.

ΗΡΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΠΕΡΙ ΔΙΟΠΤΡΑΣ

ΗΡΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΠΕΡΙ ΔΙΟΠΤΡΑΣ

cod. Paris. suppl. gr. 607 fol. 62^r pag. 174 Vi

α. Τῆς διοπτρικῆς πραγματείας πολλὰς καὶ ἀναγκαίας παρεχομένης χρείας καὶ πολλῶν περὶ αὐτῆς λελεχότων ἀναγκαῖον εἶναι νομίζω τά τε ὑπὸ τῶν πρὸ ἐμοῦ παραλειφθέντα καὶ, ὡς προείρηται, χρείαν παρέχοντα γραφῆς ἀξιῶσαι, τὰ δὲ δυσχερῶς εἰρημένα εἰς εὐχέρειαν μεταγαγεῖν, τὰ δὲ ψευδῶς εἰρημένα εἰς διόρθωσιν προάξαι. οὐχ ἡγοῦμαι δὲ ἀναγκαῖον εἶναι τά τε ἡμαρτημένως καὶ δυσχερῶς ἐκτεθειμένα ἢ καὶ διημαρτημένα ὑπὸ τῶν πρὸ ἡμῶν νῦν εἰς μέσον φέρειν· ἐξέσται γὰρ τοῖς βουλομένοις ἐντυγχάνουσιν κρίνειν τὴν διαφοράν. ἔτι δὲ καὶ ὅσοι ἀναγραφὴν πεποίηνται περὶ τῆς πραγματείας, οὐ [διὰ] μιᾷ ἢ τῇ αὐτῇ διόπτρᾳ κέχρηνται πρὸς τὴν ἐνέργειαν, πολλαῖς δὲ καὶ διαφόροις, καὶ ὀλίγας δι᾽ αὐτῶν προτάσεις ἐπιτελέσαντες. ἡμεῖς μὲν οὖν καὶ τοῦτο αὐτὸ πεφιλοτιμήμεθα, ὥστε διὰ τῆς αὐτῆς τὰς προκειμένας ἡμῖν προτάσεις ἐνεργεῖσθαι. οὐ μὴν ἀλλὰ καὶ ἂν ἑτέρας τις ἐπινοήσῃ, οὐκ ἀμοιρήσει ἡ κατασκευασθεῖσα ὑφ᾽ ἡμῶν διόπτρα, ὥστε καὶ ταύτας ἐνεργεῖν.

1—2 Tituli folio resecto exiguae supersunt reliquiae: Ἥρωνος περὶ διόπτρας   5 λελεχότων: cf. Galenus XVI 249, 4 K.

ÜBER EINE DIOPTRA
VON HERON VON ALEXANDRIA.

I. Da die Lehre von der Dioptra viele und unentbehrliche praktische Anwendungen bietet und Viele über sie gehandelt haben, so halte ich für nötig, das von meinen Vorgängern Übergangene, das, wie gesagt, eine praktische Anwendung gestattet, der Darstellung zu würdigen, das schwierig Dargestellte in eine leichtfaſsliche Form zu bringen und das falsch Dargestellte zu verbessern. Ich glaube jedoch nicht, daſs es nötig ist, das von meinen Vorgängern in fehlerhafter und schwerverständlicher Form Vorgetragene oder auch sachlich Verfehlte hier zu behandeln. Denn wem daran liegt, der kann sich durch eigene Lektüre ein Urteil über den Unterschied bilden. Ferner haben auch diejenigen, welche über den Gegenstand geschrieben haben, sich zur Ausführung der Operationen nicht eines und desselben Instrumentes, sondern vieler und immer wieder verschiedener bedient, und doch haben sie vermittelst derselben nur wenige Aufgaben gelöst. Wir nun haben gerade auf diesen Punkt besonderen Wert gelegt, so daſs durch ein und dasselbe Instrument die uns vorliegenden Aufgaben gelöst werden. Jedoch wird auch, wenn sich jemand noch andere Aufgaben ausdenkt, die von uns konstruierte Dioptra dabei nicht versagen, so daſs sie auch diese auszuführen vermag.

---

10 ἡμαρτημένα καὶ: correxi   14—15 διὰ μιᾶς ἢ τῆς αὐτῆς διόπτρας: correxi dittographia sublata   19 ἑτέραν: corr. R. Schoene

p. 176 β. Ὅτι δὲ πολλὰς παρέχεται τῷ βίῳ χρείας ἡ πραγματεία, δι’ ὀλίγων ἐστὶν ἐμφανίσαι. πρός τε γὰρ ὑδάτων ἀγωγὰς καὶ τειχῶν κατασκευὰς καὶ λιμένων καὶ παντὸς οἰκοδομήματος εὔχρηστος τυγχάνει, πολλὰ δὲ ὤνησεν καὶ τὴν περὶ τὰ οὐράνια θεωρίαν, ἀναμετροῦσα τά [τε] μεταξὺ τῶν ἀστέρων διαστήματα, καὶ τὰ περὶ μεγεθῶν καὶ ἀποστημάτων καὶ ἐκλείψεων ἡλίου καὶ σελήνης· πρός τε τὴν τῶν γεωγραφουμένων πραγματείαν, νήσους τε καὶ πελάγη καὶ καθόλου πᾶν διάστημα ἐξ ἀποστήματος ⟨. . . .⟩. πολλάκις γὰρ ἐμποδὼν ἵσταταί τι εἶργον ἡμᾶς τῆς προθέσεως, ἤτοι διὰ πολεμίων προκατάληψιν ἢ διὰ τὸ ἀπρόσιτον καὶ ἄβατον εἶναι τὸν τόπον παρεπομένου τινὸς ἰδιώματος φυσικοῦ ἢ ῥεύματος ὀξέα ὑποσύροντος. πολλοὶ γοῦν πολιορκεῖν ἐπιχειροῦντες κλίμακας ἢ μηχανήματα κατασκευασάμενοι ἐλάσσονα ὧν χρὴ καὶ προσα⟨γα⟩γόμενοι τοῖς τείχεσιν ὑποχειρίους ἑαυτοὺς παρέσχον τοῖς ἀντιπάλοις παραλογισθέντες τῇ ἀναμετρήσει τῶν τειχῶν διὰ τὸ ἀπείρους εἶναι τῆς διοπτρικῆς πραγματείας. αἰεὶ γὰρ ἐκτὸς ὄντας βέλους ἀναμετρεῖν δεῖ τὰ προειρημένα
fol. 62v δια|στήματα.

Πρότερον οὖν ἐκθέμενοι τὴν τῆς διόπτρας κατασκευὴν ἑξῆς καὶ τὰς χρείας προστάξομεν.

γ. Ἡ τοίνυν τῆς εἰρημένης διόπτρας κατασκευή
p. 178 ἐστιν τοιαύτη. παγεὺς γίνεται καθάπερ στυλίσκος, ἔχων ἐκ τοῦ ἄνω μέρους τόρμον στρογγύλον· περὶ δὲ τὸν τόρμον τυμπάνιον περιτίθεται χάλκεον περὶ τὸ αὐτὸ κέντρον τῷ τόρμῳ. περιτίθεται δὲ καὶ χοινικὶς χαλκῆ περὶ τὸν τόρμον εὐλύτως δυναμένη περὶ αὐτὸ⟨ν⟩ π⟨ο⟩λεῖσθαι, ἔχουσα ἐκ μὲν τοῦ κάτω μέρους τυμπάνιον ὠδοντωμένον συμφυὲς αὐτῇ, ἔλασσον τοῦ προει-

II. Daſs diese Disciplin dem praktischen Leben vielfachen Nutzen gewährt, kann man mit wenigen Worten zeigen. Denn sowohl für die Anlage von Wasserleitungen als auch für den Bau von Mauern und Häfen und jeder Art von Gebäuden ist sie nützlich, und auch der Himmelskunde hat sie durch Ausmessung der Abstände zwischen den Sternen vielfachen Nutzen gebracht, sowie auch den Untersuchungen über die Gröſse, die Abstände und die Verfinsterungen von Sonne und Mond; ferner ist sie für die Geographie nützlich gewesen, indem sie Inseln und Meere und allgemein jede Entfernung aus Abstand messen lehrte. Denn oft steht ein Hindernis im Wege, das uns an der Ausführung unserer Absicht hindert, weil entweder Feinde die Örtlichkeit vorher besetzt haben, oder weil das Terrain unzugänglich und unwegsam ist, wenn es irgend eine physische Eigentümlichkeit hat, oder ein reiſsender Strom im Wege ist (?). Beispielsweise haben Viele bei Einleitung einer Belagerung Leitern oder Belagerungstürme in kleineren Dimensionen als nötig war konstruiert und sich dann, wenn sie diese an die Mauern heranführten, dem Gegner ausgeliefert, da sie sich aus Unkenntnis der Handhabung der Dioptra in der Messung der Mauerhöhen getäuscht hatten. Denn diese Gröſsen muſs man stets auſser Schuſsweite messen. Wir werden nun zuerst die Konstruktion der Dioptra auseinandersetzen und sodann auch eine Übersicht der Fälle ihrer praktischen Verwendung beifügen.

III. Die Konstruktion dieser Dioptra ist folgende. Es wird ein Ständer in Form einer kleinen Säule angefertigt, der oben einen runden Zapfen hat. Um den Zapfen wird eine kleine Bronzescheibe herumgelegt, die mit dem Zapfen denselben Mittelpunkt hat. Ferner wird um den Zapfen ein Bronzecylinder herumgelegt, der sich bequem darum zu drehen vermag; er hat an seinem unteren Teile ein

---

6 [τε] delevi 10 hiatu ⟨ἀναμετροῦσα⟩ sim. haustum 16 προσαγόμενοι: correxi. f. χρῆν 17 ἑαυτοῖς: corr. Vi 26 ἀνωτέρου τόρμον: corr. R. Schoene 29—30 αὐτὸ πλεῖσθαι: correxi; εἰλεῖσθαι Vi 31 et p. 194 l. 8 οδοντωμενον: corr. Vi



Fig. 83a. Dioptra (Durchschnitt).



Fig. 83b. Dioptra (Seitenansicht).

ρημένου τυμπανίου καὶ ἐπικαθήμενον αὐτῷ, ἐκ δὲ τοῦ ἄνω μέρους πλίνθον καθάπερ Δωρικοῦ κιονίου κεφάλιον εὐπρεπείας ἕνεκα. τῷ δ' εἰρημένῳ ὀδοντωτῷ τυμπανίῳ παρατίθεται κοχλίδιον ἔχον τὴν ἕλικα ἁρμοστὴν τοῖς ὀδοῦσι τοῦ τυμπανίου. τὰ δὲ στημάτια τοῦ κοχλιδίου συμφυῆ γίνεται τῷ μείζονι τυμπανίῳ. ἐὰν ἄρα ἐπιστρέφωμεν τὸ εἰρημένον κοχλίδιον, ἐπιστρέψομεν καὶ τὸ ὠδοντωμένον τυμπάνιον καὶ τὴν συμφυῆ αὐτῷ χοινικίδα. γίνεται δὲ συμφυὴς αὐτῷ τόρμων τριῶν ἀφιεμένων ἐκ τῆς ἕδρας τῆς χοινικίδος καὶ συγκοινουμένων αὐτῷ τῷ τυμπανίῳ. λαμβάνει δὲ ὁ κοχλίας κατὰ μῆκος σωλῆνα πάχος ἔχοντα ὅσον ἐστὶν τὸ τῆς ἕλικος αὐτοῦ βάθος· οὐκοῦν ἐὰν ἐπιστρέψωμεν τὸν κοχλίαν, ἄχρις ὁ εἰρημένος ἐν αὐτῷ σωλὴν κατὰ τοὺς ὀδόντας τοῦ τυ⟨μ⟩πανίου γένηται, ἰδίᾳ στραφήσεται τὸ τυμπάνιον. καταστήσαντες οὖν αὐτὸ ὡς ἂν ἡ χρεία ἀπαιτῇ, ἐπιστρέψομεν τὸν κοχλίαν βραχύ, ὥστε ἐμπλακῆναι τὴν ἕλικα τοῖς ὀδοῦσιν, καὶ οὕτως μενεῖ ἀκίνητον τὸ τυμπάνιον.

p. 180 *Ἔστω οὖν τὸ μὲν περὶ τὸν τόρμον τυμπάνιον καὶ συμφυὲς τῷ παγεῖ τὸ AB, τὸ δὲ συμφυὲς τῇ χοινικίδι τὸ $\Gamma\Delta$, ὁ δὲ παρακείμενος τούτῳ κοχλίας ὁ EZ, ἡ δὲ συμφυὴς χοινικὶς τῷ $\Gamma\Delta$ τυμπανίῳ ἡ $H\Theta$, ἔχουσα ἐπικείμενον, ὡς εἴρηται, Δωρικὸν κεφάλιον τὸ $K\Lambda$. ἐπὶ δὲ τῆς πλίνθου ἐφεστάτω δύο χαλκᾶ στημάτια καθάπερ κανόνια, ἀπέχοντα ἀπ' ἀλλήλων τοσοῦτον, ὥστε εἰς τὸν μεταξὺ τόπον αὐτῶν πάχος τυμπανίου δύνασθαι ἐναρμοσθῆναι. ἐπὶ δὲ τῆς πλίνθου μεταξὺ*

---

